της μοίρας μεσουρανούσης, ἀνατέλλει μὲν καρ-
κίνος, δύνει δὲ αἰγόκερως, ὥστε μέσον χρόνον
τῆς ἀνατολῆς ἔχειν καρκίνον, καὶ μέσον
χρόνον τῆς δύσεως αἰγόκερων. Πάλιν δὲ, χη-
λῶν μεσουρανουσῶν, μέσον χρόνον τῆς ἀνατο-
λῆς ἕξει αἰγόκερως, καὶ μέσον τῆς δύσεως
χρόνον καρκίνος. ἡ δὲ τοιαύτη ἔκθεσις τῶν
ἀνατολικῶν χρόνων παρὰ τοῖς Ἀρχαίοις ἐστὶ
διημαρτημένη. Ἐπεὶ γὰρ δίδυμος καὶ καρκί-
νος τὴν αὐτὴν ἔγκλισιν ἔχουσιν ἐν τῷ ζω-
διακῷ κύκλῳ πρὸς τὸν ὁρίζοντα, καὶ τὴν αὐ-
τὴν ἀπόστασιν ἀπὸ τοῦ θερινοῦ τροπικοῦ σημείου,
καὶ τὰ μεγέθη τῶν ἡμερῶν ἴσα, καρκίνου δὲ
μεσουρανοῦντος, ἀνατέλλει ζυγός: ἐν ἴσῳ
χρόνῳ

καὶ διδύμων τῶν μεσουρανούντων ἀνατέλλει παρθένος,

teneret, cumque hoc tempore oriatur Libra, occidat Aries: inde statuerunt, longissimo tempore oriri Libram & longissimo tempore occidere Arietem. Rursus cum humilimus stat Zodiacus, prima parte Capricorni tenente medium cœli, & hoc tempore oriatur Aries, Libra occidat: statuerunt celerrimè oriri Arietem, & celerrimo tempore occidere Libram. Rursus cum mediam inclinationem Zodiacus ad horizontem tum accipiat, cum prima pars Arietis medium cœli occupat, & Libræ pars prima medium cœli tenet: oriatur autem Cancer, & occidat Capricornus, statuerunt igitur, medium tempus ortus habere Cancrum, & medium tempus occasus Capricornum. Rursus chelis medium cœli tenentibus, medium tempus ortus habebit Capricornus, & medium tempus occasus Cancer. Talis expositio ortivorum temporum apud veteres falsa est. Cum enim Gemini, & Cancer eandem habeant inclinationem in Zodiaco ad horizontem, eandemque distantiam ab æstivo Tropico signo, & dierum magnitudines æquales, & Cancro mediante in cœlo, oriatur Libra: in tempori-

χρόνῳ ἀνατέλλουσι παρθένος, καὶ ζυγός.

Καὶ ἐπεὶ ὀρθότατος γίνεται ὁ τῶν ζωδίων κύκλος, διδύμων καὶ καρκίνου μεσουρανούντων, ἐν πλείστῳ χρόνῳ ἀνατέλλουσι παρθένος, καὶ ζυγὸς, καὶ οὐ μόνον αἱ χηλαὶ, καθάπερ οἱ ἀρχαῖοι διελάμβανον.

Πάλιν δὲ ἐπεὶ τοξότης, καὶ αἰγόκερως τὴν αὐτὴν ἔγκλισιν ἔχουσι πρὸς τὸν ὁρίζοντα, καὶ τοξότου μεσουρανοῦντος, ἀνατέλλουσιν ἰχθύες, δύνει δὲ παρθένος: αἰγόκερω δὲ μεσουρανοῦντος, ἀνατέλλει μὲν κριὸς, δύνει δὲ ζυγὸς, καὶ γίνεται ταπεινότατος ὁ τῶν ζωδίων κύκλος, τοξότου καὶ αἰγόκερω μεσουρανούντων, ἐν ἐλαχίστῳ χρόνῳ δύνουσι παρθένος, καὶ ζυγός.

Πάλιν δὲ ἐπεὶ ἰχθύων μεσουρανούντων ἀνατέλλουσι δίδυμοι, κριοῦ μεσουρανοῦντος, ἀνατέλλει καρκίνος, ἰχθύων δὲ καὶ κριοῦ μεσουρανούντων, μέσην ἔγκλισιν ἔχει ὁ ζωδιακὸς κύκλος: μέσον ἄρα χρόνον τῆς ἀνατολῆς περιέχουσι δίδυμος, καὶ καρκίνος: δύσεως δὲ τοξότης, καὶ αἰγόκερως.

δύνουσι δὲ

Ὁμοίως δὲ ἐπεὶ παρθένου, καὶ χηλῶν μεσουρανουσῶν μέσην ἔγκλισιν ἔχειν λέγεται ὁ ζωδιακὸς κύκλος, καὶ παρθένου μὲν μεσουρ-

σουρα-

poribus æqualibus oriuntur Virgo, & Libra.

Cumque rectissimus fiat Zodiacus, Geminis & Cancro medium cœli tenentibus, longissimo tempore oriuntur Virgo, & Libra, & non tantum Chelæ, ut veteres opinabantur.

Rursus cum Sagittarius, & Capricornus eandem habeant ad horizontem inclinationem, & Sagittario medium cœli tenente oriantur Pisces, occidat Virgo: Capricorno medium cœli occupante, oriatur Aries, occidat Libra, fiatque humilimus Zodiacus cum Sagittarius, & Capricornus in cœlo mediant: in brevissimo tempore occidunt Virgo, & Libra.

Rursus verò cum Piscibus medium cœli tenentibus oriantur Gemini: Ariete medium cœli occupante oriatur Cancer: Piscibus verò, & Ariete in cœlo mediantibus, mediam inclinationem habeat Zodiacus: medium igitur tempus ortus continent Gemini, & Cancer, Sagittarius verò, & Capricornus occasus.

Similiter cùm, Virgine, & Chelis mediũ cœli tenẽtibus, mediã inclinationem Zodiacus habere dicatur, & Virgine medium

οὐρανοῦ, ἀνατέλλει μὲν τοξότης, δύνουσι δὲ δίδυμοι: χιλίων δὲ μεσουρανούντων, ἀνατέλλει αἰγόκερως, δύνει δὲ καρκίνος, μέσον χρόνον περιέξουσι τῆς ἀνατολῆς τοξότης, καὶ αἰγόκερως, τῆς δὲ δύσεως δίδυμοι, καὶ καρκίνος.

Ἐκ δὲ τούτων φανερὸν, ὅτι τὰ ἴσον ἀπέχοντα τῶν τροπικῶν, καὶ τῶν ἰσημερινῶν σημείων, ἐν ἴσῳ χρόνῳ ἀνατέλλει, καὶ δύνει. Καὶ ἐπεὶ ἐν πάσῃ νυκτὶ ἓξ ζώδια ἀνατέλλει ἐν ὥραις ιβ, καὶ ἐν πάσῃ ἡμέρᾳ ἓξ ζώδια ἀνατέλλει ἐν ὥραις ιβ, φανερὸν, ὅτι καὶ ἐν ἡμέρᾳ, καὶ νυκτὶ ιβ ζώδια ἀνατέλλει ἐν ὥραις κδ, καὶ ἓν ζώδιον ἐν β ὥραις, κατὰ τὸν μέσον τῆς ἀνατολῶν χρόνον. Καὶ πάλιν ἐπεὶ ἐν πάσῃ νυκτὶ ἓξ ζώδια δύνει ἐν ὥραις ιβ, φανερὸν ἐκ τῶν αὐτῶν, ὅτι τὸ ἓν ζώδιον ἐν δυσὶν ὥραις δύνει, καὶ ιβ ζώδια ἀνατέλλει, καὶ δύνει ἐν ὥραις ἰσημεριναῖς κδ, καὶ πάντων τῶν ζωδίων ὁ συναμφότερος χρόνος τῆς ἀνατολῆς, καὶ τῆς δύσεως ἐστὶν ἴσος χρόνῳ ὡρῶν ἰσημερινῶν κδ. Καὶ ὅσα μὲν τῶν ζωδίων ἐν πλείστῳ χρόνῳ ἀνατέλλει, ἐν ἐλαχίστῳ χρόνῳ δύνει: ὅσα δὲ ἐν ἐλαχίστῳ χρόνῳ ἀναφέρεται, ἐν πλείστῳ χρόνῳ δύνει.

[Marginal notes, handwritten: "τὸ δὲ ἀνατέλλει" ; "καὶ ἐν δυσὶν ὥραις ἀνατέλλει. ὥστε ἐν ὥραις δ ἰσημεριναῖς δύνει καὶ ἀνατέλλει"]

dium cœli tenente, oriatur Sagittarius, occidant Gemini, Chelis verò cœli medium occupantibus oriatur Capricornus, occidat Cancer, medium tempus habebunt ortus Sagittarius, & Capricornus, occasus verò Gemini, & Cancer.

Ex his manifestum est, quod ea signa, quæ æqualiter â punctis tropicis, & æquinoctialibus distant, æqualibus temporibus oriantur, & occidant. Et cum omni nocte sex signa oriantur in horis 12, & omni die sex signa oriantur in horis 12, manifestum, quod & in die, & in nocte 12 signa oriantur in horis 24, & unum signum in 2 horis secundum medium ortuum tempus. Et rursus cùm omni nocte sex signa oriantur in horis 12, manifestum est ex ijsdem, quod unum signum in duabus horis occidat, & 12 signa oriantur, & occidant in horis æquinoctialibus 24, & omnium signorum tempus ortus & occasus, simul sumtum, sit æquale tempori horarum æquinoctialium 24. Et quod quæcunque signa longissimo tempore oriuntur, ea brevissimo tempore occidant: quæ verò brevissimo tempore oriuntur, ea longissimo tempore occidant.

ΠΕΡῚ ΜΗΝΩ͂Ν.

Μήν ἐστι χρόνος ἀπὸ συνόδου ἐπὶ σύνοδον, ἢ ἀπὸ πανσελήνου ἐπὶ πανσέληνον. Ἔστι δὲ σύνοδος μὲν, ὅταν ἐν αὐτῇ τῇ μοίρᾳ γένηται ὁ ἥλιος, καὶ ἡ σελήνη, τοῦτ᾽ ἐστὶ περὶ τὴν τριακάδα σελήνης. Πανσέληνος δὲ λέγεται, ὅταν ἡ σελήνη κατὰ διάμετρον γένηται τῷ ἡλίῳ, τοῦτο δέ ἐστι περὶ τὴν διχομηνίαν. Ἔστι δὲ μηνιαῖος χρόνος ἡμερῶν κθ $\frac{\alpha}{\beta}$ $\frac{\alpha}{\lambda\gamma}$. Ἐν δὲ τῷ μηνιαίῳ χρόνῳ ἡ σελήνη διαπορεύεται τόν τε τῶν ζωδίων κύκλον, καὶ ἔτι τὴν περιφέρειαν, ἣν ὁ ἥλιος ἐν τῷ μηνιαίῳ χρόνῳ εἰς τὰ ἑπόμενα τῶν ζωδίων μεταβαίνει, αὐτὴ δέ ἐστιν ὡς ἔγγιστα ζωδίου· ὥστε ἐν τῷ μηνιαίῳ χρόνῳ ιγ ζώδια ὡς ἔγγιστα κινεῖσθαι τὴν σελήνην. Ἔστι δὲ ὁ μὲν ἀκριβὴς μηνιαῖος χρόνος, καθάπερ εἴρηται, ἡμερῶν κθ $\frac{\alpha}{\beta}$ $\frac{\alpha}{\lambda\gamma}$. Οἱ δὲ πρὸς τὴν πολιτικὴν ἀγωγὴν ὁλοσχερέστερον λαμβανόμενοι μηνιαῖοι χρόνοι, εἰσὶν ἡμερῶν κθ $\frac{\alpha}{\beta}$, ὥστε τὸν δίμηνον χρόνον γενέσθαι, ἡμερῶν νθ. Ὅθεν διὰ ταύτην τὴν αἰτίαν οἱ κατὰ πόλιν μῆνες ἐναλλὰξ ἄγονται πλήρεις, καὶ κοῖλοι, διὰ τὸ τὴν σελήνην δίμηνον ἡμερῶν εἶναι νθ.

Ἐκ

DE MENSIbus.

Mensis quid.

MEnsis est tempus à coniunctione ad coniunctionem, aut à plenilunio ad plenilunium. Est autem coniunctio, cùm in eadem parte fuerint Sol, & Luna, quod fit circa tricesimum diem Lunæ. Plenilunium dicitur, cum Luna secundum diametrum opponitur Soli. Hoc fit circa medium mensem. Est autem menstruum tempus dierum $29\frac{1}{2}\,\frac{1}{33}$. In menstruo autem tempore Luna peragrat & circulum Zodiacum, & præterea eum arcum, quem Sol in menstruo tempore in consequentia signa transit. Hic arcus autem ferè est unius signi: Itaque in menstruo tempore Luna ferè 13 signa percurrit. Est autem exactum menstruum tempus, sicut dictum est, dierum $29\frac{1}{2}\,\frac{1}{33}$. Quæ verò menstrua tempora ad politicam vitam integrius sumuntur, ea sunt dierum $29\frac{1}{2}$: ita ùt bimestre tempus fiat dierum 59. Vnde propter hanc caussam civiles menses alternatim aguntur pleni, & cavi propterea quod Luna bimestris sit dierum 59.

Mensis magnitudo.

Mensis civilis.

Ἐκ δὲ τούτων συνάγεται ὁ κατὰ σελήνην ἐνιαυτὸς ἡμερῶν τνδ΄. Ἐὰν γὰρ τὰς τοῦ μηνὸς ἡμέρας τὰς κθ∠ δωδεκάκις πολλαπλασιάσωμεν, ἀποτελεσθήσονται ἡμέραι αἱ τοῦ κατὰ σελήνην ἐνιαυτοῦ τνδ΄. Ἄλλος γάρ ἐστι καθ᾽ ἥλιον ἐνιαυτὸς, καὶ ἄλλος κατὰ σελήνην. Ὁ μὲν γὰρ τοῦ ἡλίου, ιβ΄ ζωδίων ἔχει περίοδον μὴν τοῦ ἡλίου, ὅπερ εἰσὶν ἡμέραι τξε δ΄. ὁ δὲ τῆς σελήνης ιβ΄ μηνῶν περιέχει χρόνον τῆς σελήνης, ὅπερ ἐστὶν ἡμέραι τνδ΄. Ἐπεὶ οὔτε ὁ μὴν ἐξ ὅλων ἡμερῶν συνέστηκεν, οὔτε ὁ καθ᾽ ἥλιον ἐνιαυτός. Ἐζητεῖτο οὖν χρόνος ὑπὸ τῶν ἀστρολόγων, ὃς περιέξει ὅλας ἡμέρας, καὶ ὅλους μῆνας, καὶ ὅλους ἐνιαυτούς. Πρόθεσις γὰρ ἦν τοῖς ἀρχαίοις, τοὺς μὲν μῆνας ἄγειν κατὰ σελήνην, τοὺς δὲ ἐνιαυτοὺς καθ᾽ ἥλιον. Τὸ γοῦν ὑπὸ τῶν νόμων, καὶ τῶν χρησμῶν παραγγελλόμενον τὸ θύειν κατὰ γ΄ ἤγουν τὰ πάτρια, μῆνας, ἡμέρας, ἐνιαυτοὺς, τοῦτο διέλαβον ἅπαντες οἱ Ἕλληνες, ὥστε τοὺς μὲν ἐνιαυτοὺς συμφώνως ἄγειν τῷ ἡλίῳ, τὰς δὲ ἡμέρας, καὶ τοὺς μῆνας τῇ σελήνῃ. Ἔστι δὲ τὸ μὲν καθ᾽ ἥλιον ἄγειν τοὺς ἐνιαυτοὺς, τὸ περὶ τὰς αὐτὰς ὥρας τοῦ ἐνιαυτοῦ τὰς αὐτὰς θυσίας τοῖς θεοῖς ἐπιτελεῖσθαι, καὶ τὴν μὲν ἐαρινὴν

Ex his autem colligitur Lunaris annus dierum 354. Si enim unius mensis dies $29\frac{1}{2}$ duodecies multiplicaverimus, efficientur Lunaris anni dies 354. Alius enim est annus Solaris, & alius annus Lunaris. Solaris enim annus habet circuitum Solis per 12 signa, qui habet dies $365\frac{1}{4}$. At Lunaris annus continet tempus 12 mensium Lunarium, quod est dierum 354: Siquidem nec mensis ex integris constat diebus, nec annus Solaris. Quærebatur igitur tempus ab Astrologis, quod integros dies, & integros menses, & integros annos contineret. Propositum enim fuit veteribus, menses quidem agere secundum Lunam, annos verò secundum Solem. Quod enim à legibus, & oraculis præcipiebatur, ut sacrificarent secundum tria videlicet patria, menses, dies, annos, hoc ita distinctè faciebant universi Græci, ut annos agerent congruenter cum Sole, dies verò & menses cum Luna. Secundum Solem autem annos agere est circa easdem horas anni eadem sacrificia Dijs perfici, & Ver-

Anni Lunaris magnitudo.

Solaris anni magnitudo.

Astrologos vocat eos, quos nunc dicimus Astronomos.

Horæ anni sunt Ver,

νὴν θυσίαν, διὰ παντὸς κατὰ τὸ ἔαρ συντελεῖσθαι·
τὴν δὲ θερινὴν, κατὰ τὸ θέρος, ὁμοίως δὲ καὶ κατὰ τοὺς
λοιποὺς καιροὺς τοῦ ἔτους τὰς αὐτὰς θυσίας
πίπτειν. Τοῦτο γὰρ ὑπέλαβον προσηνὲς, καὶ
κεχαρισμένον εἶναι τοῖς θεοῖς.

Τοῦτο δ' ἄλλως οὐκ ἂν δύναιτο γενέσθαι,
εἰ μὴ αἱ τροπαὶ, καὶ αἱ ἰσημερίαι περὶ τοὺς
αὐτοὺς τόπους γίγνοιντο. Τὸ δὲ κατὰ σελήνην ἄ-
γειν τὰς ἡμέρας, τοιοῦτόν ἐστι, τὸ ἀκολούθως
τοῖς τῆς σελήνης φωτισμοῖς τὰς προσηγο-
ρίας τῶν ἡμερῶν γίνεσθαι. Ἀπὸ γὰρ τῶν τῆς
σελήνης φωτισμῶν αἱ προσηγορίαι τῶν ἡμε-
ρῶν κατωνομάσθησαν.

Ἐν ᾗ μὲν γὰρ ἡμέρᾳ νέα ἡ σελήνη φαίνε-
ται, κατὰ συναλοιφὴν νεομηνία προσηγορεύθη:
ἐν ᾗ δὲ ἡμέρᾳ τὴν δευτέραν φάσιν ποιεῖται,
δευτέραν προσηγόρευσαν: τὴν δὲ κατὰ μέσον
τοῦ μηνὸς γινομένην φάσιν τῆς σελήνης, ἀπ'
αὐτοῦ τοῦ συμβάντος διχομηνίαν ἐκάλεσαν.

συμβαίνοντος

Καὶ καθ' ὅλου δὲ πάσας τὰς ἡμέρας ἀπὸ τῶν
τῆς σελήνης φωτισμῶν προσωνόμασαν. Ὅ-
θεν καὶ τὴν τριακοστὴν τοῦ μηνὸς ἡμέραν ἐσχά-
την οὖσαν, ἀπ' αὐτοῦ τοῦ συμβαίνοντος τρια-
κάδα ἐκάλεσαν. Τούτοις δὲ ἀκολούθως καὶ
ὁ Ἄρατος περὶ τῶν προσηγοριῶν τῶν ἡμερῶν
ἀποφαίνεται, λέγων οὕτως.

Οὐχ

num sacrificium semper in vere consummari, æstivum autem in æstate, similiter & in reliquis anni temporibus eadem sacrificia cadere. Hoc enim putabant acceptum, & gratum esse Dijs.

Æstas, Autumnus, & Hyems.

Hoc autem aliter fieri non posset, nisi conversiones solstitiales, & æquinoctia in ijsdem Zodiaci locis fierent. Secundum Lunam verò dies agere est tale, ut congruant cum Lunæ illuminationibus appellationes dierum. Nam à Lunæ illuminationibus appellationes dierum sunt denominatæ.

In qua enim die Luna apparet nova, ea per synaloephen, seu compositionem, νομηνία, id est, novilunium appellatur. In qua verò die secundam facit apparitionem, eam secundam apparitionem vocarunt. Apparitionem Lunæ, quæ circa medium mensis fit, ab ipso eventu, διχομηνίαν, id est, medietatem mensis nominarunt. Ac summatim, omnes dies à Lunæ illuminationibus denominarunt. Vnde etiam tricesimam mensis diem, cum ultima sit, ab ipso eventu Triacada vocarunt. His consentanea etiam Aratus in appellationibus dierum demonstrat, cùm sic inquit:

Novilunium.

Secunda apparitio.

Medietas mensis.

Triacas.

Οὐχ ὁράᾳς, ὀλίγη μὲν ὅταν κεράεσσι σελήνη
Ἑσπερόθεν φαίνητ', ἀεξομένοιο διδάσκει
Μηνός, ὅτε πρώτη ἀποκίδναται αὐτόθεν αὐγή,
Ὅσσον ἐπισκιάειν, τετράτη δ' ἐπὶ ἦμαρ ἰοῦσα.
Ὀκτὼ δ' ἐν διχάσι, διχόμηνα δὲ παντὶ προσώπῳ,
Αἰεὶ δ' ἄλλοθεν ἄλλα παραλλάσσουσα μέτωπα
Εἴρει, ὁποσσάτη μηνὸς περιτέλλεται ἠώς.

Ἐν γὰρ τούτοις σαφῶς φησὶν, ἐκ τῶν φωτισμῶν τῆς σελήνης τὰς προσηγορίας τῶν ἡμερῶν κατωνομάσθαι. Τοῦ δὲ κατὰ σελήνην ἄγειν ἀκριβῶς τὰς ἡμέρας παράδειγμά ἐστι, τὸ τὰς μὲν τοῦ ἡλίου ἐκλείψεις γίνεσθαι τῇ τριακάδι: τότε γὰρ συνοδεύει ἡ σελήνη τῷ ἡλίῳ, καὶ κατὰ τὴν αὐτὴν μοῖραν γίνεται: τὰς δὲ τῆς σελήνης ἐκλείψεις νυκτὶ τῇ φερούσῃ εἰς τὴν διχομηνίαν. Τότε γὰρ κατὰ διάμετρον γίνεται ἡ σελήνη τῷ ἡλίῳ, καὶ ἐμπίπτει εἰς τὸ τῆς γῆς σκίασμα. Ὅταν οὖν καὶ οἱ ἐνιαυτοὶ ἀκριβῶς ἄγωνται καθ' ἥλιον, καὶ οἱ μῆνες, καὶ αἱ ἡμέραι κατὰ σελήνην, τότε νομίζουσιν οἱ Ἕλληνες κατὰ τὰ πάτρια θύειν, τοῦτο δ' ἐστὶ κατὰ τοὺς αὐτοὺς καιροὺς τοῦ ἐνιαυτοῦ τὰς αὐτὰς θυσίας τοῖς θεοῖς συντελεῖσθαι. Οἱ μὲν οὖν

Αἰγύ-

Nonne vides, cùm parva cornibus Luna
Vesperi apparuerit, crescentis docet
Mensis (signum.) *Inde cùm primus splendor diffunditur,*
Vt umbram faciat, tendit ad quartum diem.
Octo dies (docet) *in medio orbe luminis, medietatem mensis tota facie,* (id est, integro orbe lucis.)
Semper autem alio tempore alias frontes inclinans
Dixerit, quota mensis aurora circumvolvatur.

In his enim perspicuè inquit, ab illuminationibus Lunæ appellationes dierum denominatas esse. Huius verò, quod secundùm Lunam accuratè dies Græci agant, argumentum est hoc, quod Solis Eclipses fiant in triacade, hoc est die tricesima: tunc enim Luna coniungitur cum Sole, & in eodem gradu constituitur: Lunæ verò eclipses contingant ea nocte, quæ fert ad meditatem mensis. Tunc enim secundum diametrum Luna Soli opponitur, & incidit in umbram terræ. Cum igitur & anni accuratè agantur secundùm Solem, & menses, & dies secundùm Lunam: tum putant Græci se secundùm patria sacrificare, hoc autem est, iuxta eadem tempora anni eadem sacrificia Dijs consummare. At

Quoto die mensis Lunaris, eclipsis Solis, & Lunæ fiant.

Græcorum superstitio in servandis tempus ibor sacrificiorum.

Αἰγύπτιοι τὴν ἐναντίαν διάληψιν, καὶ πρόθεσιν ἐσχήκασι τοῖς Ἕλλησιν. οὔτε γὰρ τοὺς ἐνιαυτοὺς ἄγουσι καθ' ἥλιον, οὔτε τοὺς μῆνας, καὶ τὰς ἡμέρας κατὰ τὴν σελήνην, ἀλλ' ἰδίᾳ τινὶ ὑποστάσει κεχρημένοι εἰσί. Βούλονται γὰρ τὰς θυσίας τοῖς θεοῖς μὴ κατὰ τὸν αὐτὸν καιρὸν τοῦ ἐνιαυτοῦ γίνεσθαι, ἀλλὰ διὰ πασῶν τῶν τοῦ ἐνιαυτοῦ ὡρῶν διελθεῖν, καὶ γίνεσθαι τὴν θερινὴν ἑορτὴν καὶ χειμερινήν, καὶ φθινοπωρινήν, καὶ ἐαρινήν. Ἄγουσι γὰρ τὸν ἐνιαυτὸν ἡμερῶν τριακοσίων ἑξήκοντα πέντε. Δώδεκα γὰρ μῆνας ἄγουσι τριακονθημέρους, καὶ πέντε ἡμέρας ἐπάγουσι. Τὸ δὲ $\frac{α}{δ}$ οὐκ ἐπάγουσι διὰ τὴν προειρημένην αἰτίαν, ἵνα αὐτοῖς ἀναποδίζωνται αἱ ἑορταί. Ἐν γὰρ τοῖς δ̄ ἔτεσι μιᾷ ἡμέρᾳ ὑστεροῦσι παρὰ τὸν ἥλιον, ἐν δὲ τοῖς μ̄ ἔτεσι, ῑ ἡμέραις ὑστερήσουσι παρὰ τὸν τοῦ ἡλίου ἐνιαυτόν. ὥστε ἐπὶ τοσαύταις ἡμέραις ἀναποδίζουσιν αἱ ἑορταί, πρὸς τὸ μὴ γίνεσθαι κατὰ τὰς αὐτὰς ὥρας τοῦ ἐνιαυτοῦ.

ρκε Ἐν δὲ τοῖς ρκ ἔτεσι μηνιαῖον ἔσται τὸ παράλλαγμα καὶ πρὸς τὸν τοῦ ἡλίου ἐνιαυτόν, καὶ πρὸς τὰς κατὰ τὸ ἔτος ὥρας. Δι' ἣν αἰτίαν καὶ τὸ περιφερόμενον ἁμάρτημα παρὰ τοῖς Ἕλλησιν, ἐκ πολλῶν χρόνων παραδοχῆς ἠξιωμένον, μέχρι τοῦ καθ' ἡμᾶς χρόνων ἐπιπίστευται.

Ægyptij contrariam Græcis & distinctionem, & propositū habuerunt. Neq; enim annos agunt secundū Solem, neq; menses, & dies secundum Lunam, sed propria quadam hypothesi sunt usi. Volunt enim sacrificia Dijs fieri non secundum idem tempus anni, sed ea per omnes anni quadrantes ire, & fieri ex æstivo festo, & hybernum, & autumnale, & vernum. Agunt enim annum dierum 365. Duodecim enim menses agunt 30 dierum, & quinque dies Epactas addunt: sed quadrantem illum diei non intercalant propter prædictam caussam, ut videlicet illis festa anticipent. Nam in quatuor annis uno die superantur Ægyptij propter Solem; in 40 annis decem diebus superabuntur propter annum Solis. Itaque etiam totidem diebus anticipant festa, ut ne contingant secundum eosdem quadrantes anni.

Ægyptiorū superstitio, & cōsuetudo in servādis temporibus sacrificiorum.

Ægyptij anni magnitudo.

In annis verò 120 menstrua erit varietas, respiciendo cum ad annum Solis, tum ad anni quadrantes. Quamobrem erratum illud, quod apud Græcos circumfertur, cum propter temporis longitudinem approbatione dignū sit habitū, etiam ad nostra usq; tēpora pro vero creditū fuit.

Refutatur erratū Græcorum de die

Putant

Ὑπολαμβάνουσι γὰρ οἱ πλεῖστοι τῶν ἑλλήνων, ἅμα τοῖς Ἰσίοις κατ' αἰγυπτίους, καὶ κατ' εὔδοξον εἶναι χειμερινὰς τροπάς: ὅπερ ἐστὶ παντάπασι ψεῦδος. μηνὶ γὰρ ὅλῳ παραλλάσσει τὰ Ἴσια πρὸς τὰς χειμερινὰς τροπάς. Ἐρρύη δὲ τὸ ἁμάρτημα ἀπὸ τῆς προειρημένης αἰτίας. Πρὸ γὰρ ρκ ἐτῶν συνέπεσε κατ' αὐτὰς τὰς χειμερινὰς τροπὰς ἄγεσθαι τὰ Ἴσια: ἐν ἔτεσι δὲ τέσσαρσι μιᾶς ἡμέρας ἐγένετο παράλλαγμα. Τοῦτο οὖν οὐκ αἰσθητὴν ἔχει παραλλαγὴν πρὸς τὰς κατ' ἔτος ὥρας: ἐν ἔτεσι δὲ μ, ἡμερῶν ι ἐγένετο παράλλαγμα, οὐδ' οὕτως αἰσθητὴν εἶναι συμβαίνει τὴν παραλλαγήν. Νυνὶ μέντοιγε μηνιαίας γινομένης παραλλαγῆς ἐν ρκ ἔτεσιν, ὑπερβολὴν οὐ διαλείπουσι ἀγνοίας οἱ διαλαμβάνοντες, ἐν τοῖς Ἰσίοις κατ' Αἰγυπτίους καὶ κατ' εὔδοξον τὰς χειμερινὰς τροπὰς εἶναι. Μιᾶ μὲν γὰρ ἡμέρα, ἢ δυσὶ διενεχθῆναι ἐνδεχόμενόν ἐστι, μηνιαῖον δὲ παράλλαγμα ἀδύνατόν ἐστι λαθεῖν. Καὶ γὰρ τὰ μεγέθη τῶν ἡμερῶν ἐλέγχειν δύναται μεγάλην ἔχοντα παραλλαγὴν πρὸς τὰς χειμερινὰς τροπάς, καὶ αἱ τῶν ὡρολογίων καταγραφαὶ ἐκδήλους ποιοῦσι τὰς κατ' ἀλήθειαν γινομένας τροπάς, ἢ μάλιστα παρ' Αἰγυπτίοις ἐν παρατη-

ρήσει

Putant enim plurimi Græcorum, in festum Isidis secundum Ægyptios, & secundum Eudoxum hybernas conversiones incidere. Quod falsum est omnino. Mense enim toto festum Isidis variat ab hybernis conversionibus. Fluxit autem erratum illud ex caussa prædicta. Nam ante 120 annos contigit, ut festum Isidis in ipsis hybernis conversionibus ageretur: in annis autem quatuor unius diei fiebat variatio. Hoc igitur non habuit sensibilem varietatem ad anni quadrantes. In annis autem 40 facta est decem dierum variatio. Nec sic quidem evenit, sensibilem fieri mutationem. At nunc cum in annis 120 fiat menstrua varietas, excessum ignorantiæ non effugiunt, qui putant in festo Isidis secundum Ægyptios, & secundum Eudoxum hybernas fieri conversiones. Vno enim die, aut duobus dissentire aliquos hac de re posibile est. At menstruam varietatem latere, imposibile est. Etenim magnitudines dierum, cum habeant magnam mutationem in hybernis conversionibus, eas arguere possunt, & horologiorum descriptiones manifestas faciunt veras conversiones, & maximè apud Ægyptios, qui eas obser-

Brumalis solstitij, & festo Isidis.

ἤγετο

ἔτεσι γινομένοις. Ὅθεν τὰ Ἴσια πρότερον μὲν ἐγένετο κατὰ τὰς χειμερινὰς τροπὰς, καὶ πρότερον δ' ἔτι κατὰ θερινὰς τροπὰς, ὡς καὶ Ἐρατοσθένης ἐν τῷ περὶ τῆς ὀκταετηρίδος ὑπομνήματι μνημονεύει, καὶ ἄξεται πάλιν κατὰ φθινόπωρον, καὶ κατὰ τὰς θερινὰς τροπὰς, καὶ κατὰ τὸ ἔαρ, καὶ κατὰ τὰς χειμερινὰς τροπάς. Ἐν ἔτεσι γὰρ χιλίοις τετρακοσίοις ἑξήκοντα ἅπασαν ἑορτὴν διελθεῖν δεῖ δὴ πασῶν τῶν τοῦ ἐνιαυτοῦ ὡρῶν, καὶ πάλιν ἀποκατασταθῆναι ἐπὶ τὸν αὐτὸν καιρὸν τοῦ ἔτους.

Οἱ μὲν οὖν Αἰγύπτιοι κατὰ τὴν ἰδίαν ὑπόστασιν τοῦ προκειμένου τέλους, οἱ δὲ Ἕλληνες τὴν ἐναντίαν γνώμην ἔχοντες, τοὺς μὲν ἐνιαυτοὺς καθ' ἥλιον ἄγουσι, τοὺς δὲ μῆνας, καὶ τὰς ἡμέρας κατὰ σελήνην. Οἱ μὲν οὖν ἀρχαῖοι τοὺς μῆνας τριακονθημέρους ἦγον, τοὺς δὲ ἐμβολίμους παρ' ἐνιαυτόν. Ταχέως δὲ ὑπὸ τῶν φαινομένων ἐλεγχομένης τῆς ἀληθείας, διὰ τὸ τὰς ἡμέρας, καὶ τοὺς μῆνας μὴ συμφωνεῖν τῇ σελήνῃ, τοὺς δ' ἐνιαυτοὺς μὴ στοιχεῖν τῷ ἡλίῳ, ὅθεν ἐζήτουν περίοδον, ἥτις κατὰ μὲν τοὺς ἐνιαυτοὺς τῷ ἡλίῳ συμφωνήσει, κατὰ δὲ τοὺς μῆνας, καὶ τὰς ἡμέρας τῇ σελήνῃ. Περιέχει δὲ ὁ τῆς περιόδου χρόνος ὅλους μῆνας,

ἐστὶ

καὶ

obseruant. Vnde festum Isidis prius quidem fiebat in hybernis conuersionibus: & adhuc prius in æstiuis conuersionibus, sicut & Eratosthenes in commentario de Octaëteride meminit, & agetur iterum in autumno, & in æstiuis conuersionibus, & in vere, & in hybernis conuersionibus. In annis enim 1460 omne festum transire oportet per omnes anni quadrantes, & rursus restitui ad idem tempus anni.

Ægyptij igitur secundum propriam hypothesin propositi finis, Græci verò, cum contrariam sententiam habeant, annos agunt secundum Solem, dies verò & menses secundum Lunam. Veteres agebant menses 30 dierum, menses autem intercalares propter annum Solis. Cùm autē per apparentiam statim veritas deprehēderetur, eo quòd dies, & menses nō responderent Lunæ, anni verò non congruerent cū Sole, hinc quærebant Periodū, quæ in annis respōderet Soli, in mensibus verò & diebus, Lunæ. Continet aūt huius Periodi tempus integros menses, &

Periodus à veteribus quæsita quæ responde-

Nam Lunaris annus, id est, 354 dies, per 8 multiplicatus dat dies 2832, quibus additi 90 dies intercalares per octo annos collecti faciunt dies 2922.

Nam 11 $\frac{1}{4}$ dies multiplicati per 8 dant 90 dies.

καὶ ὅλας ἡμέρας, καὶ ὅλους ἐνιαυτούς. Πρῶτον δὲ συνεστήσαντο τὴν περίοδον τῆς ὀκταετηρίδος, ἥτις περιέχει μὲν μῆνας ϟθ, ἐν οἷς ἐμβολισμοὶ γ, ἡμέρας δὲ ͵βϡκβ, ἔτη δὲ η. συνεστήσαντο δὲ τὴν ὀκταετηρίδα τὸν τρόπον τοῦτον. Ἐπεὶ γὰρ ὁ καθ' ἥλιον ἐνιαυτὸς ἡμερῶν ἐστὶ τξε $\frac{\alpha}{\delta}$, ὁ δὲ κατὰ σελήνην ἐνιαυτός ἐστιν ἡμερῶν τνδ, ἔλαβον τὴν ὑπεροχὴν, ἣν ὑπερέχει ὁ καθ' ἥλιον ἐνιαυτὸς τοῦ κατὰ σελήνην. Εἰσὶ δὲ ἡμέραι ια $\frac{\alpha}{\delta}$. Ἐὰν ἄρα κατὰ σελήνην ἄγωμεν τοὺς μῆνας ἐν τῷ ἐνιαυτῷ, ὑστεροῦμεν ἡμέρας παρὰ τὸν τοῦ ἡλίου ἐνιαυτὸν ια $\frac{\alpha}{\delta}$. Ἐζήτησαν οὖν, ποσάκις αὗται αἱ ἡμέραι πολυπλασιασθεῖσαι ἀποτελοῦσιν ὅλας ἡμέρας, καὶ ὅλους μῆνας. Ὀκτάκις οὖν πολυπλασιασθεῖσαι ἀποτελοῦσιν ὅλας ἡμέρας, καὶ ὅλους μῆνας· ἡμέρας μὲν ϟ, μῆνας δὲ τρεῖς. Ἐπεὶ οὖν ἐν τῷ ἐνιαυτῷ παρὰ τὸν ἥλιον ὑστεροῦμεν ἡμέρας ια $\frac{\alpha}{\delta}$· φανερὸν, ὅτι ἐν τοῖς η ἔτεσιν ὑστερήσομεν παρὰ τὸν ἥλιον ἡμέρας ϟ, αἵπερ εἰσὶ μῆνες γ. Δι' ἣν αἰτίαν καθ' ἑκάστην ὀκταετηρίδα τρεῖς ἄγονται μῆνες ἐμβόλιμοι, ἵνα τὸ καθ' ἕκαστον ἐνιαυτὸν γινόμενον ἔλλειμμα πρὸς τὸν ἥλιον ἀναπληρωθῇ, καὶ πάλιν ἐξ ἀρχῆς,

& integros dies, & integros annos. Primam aūt constituerunt periodum Octaeteridis, quæ continet menses quidē 99, in quibus intercalares menses sunt tres, dies verò 2922, & annos octo. Con stituerunt autem Octaeterida hoc modo. Cum enim annus Solaris sit dierum $365\frac{1}{4}$, annus verò Lunaris sit dierum 354, acceperunt excessum, quo excedit annus Solaris annum Lunarem. Excessus autem hic est dierum $11\frac{1}{4}$. Si igitur secundum Lunam agamus menses in anno, destituemur iuxta Solis annum diebus $11\frac{1}{4}$. Quæsiverunt igitur, quoties hi dies multiplicati efficiant integros dies, & integros menses. Octies igitur multiplicati efficiunt integros dies, & integros mēses, dies quidem 90, menses verò tres. Si igitur in anno iuxta Solem destituimur diebus $11\frac{1}{4}$, manifestum est, quod in octo annis destituemur iuxta Solem diebus 90, qui sunt menses tres. Quā ob caussam in quavis Octaeteride tres aguntur menses intercalares, ut defect⁹, qui fit singulis annis ad Solem, repleretur, & rursus à

ret annis Solis, & mensibus Lunæ.

Octaeteris, id est, periodus octo annorum.

Inventio octaeteridis.

πρὸς τὰς κτ' τὰς ὥρας

ἀρχῆς, διελθόντων τῶν η ἐτῶν, συμφωνήσουσιν αἱ ἑορταὶ πρὸς τὰς αὐτὰς ὥρας. γινομένου δὲ τούτου, αἱ θυσίαι τοῖς θεοῖς δὴ παντὸς ἀποτελεσθήσονται κατὰ τὰς αὐτὰς ὥρας τοῦ ἐνιαυτοῦ.

Ἤδη μέντοιγε τοὺς ἐμβολίμους διατάξαντος, ὡς ἦν ἐνδεχόμενον μάλιστα, δι' ἴσου, ὅτε γὰρ προσμένειν δεῖ, ἕως οὗ μηνιαῖον γένηται παράλλαγμα πρὸς τὸ φαινόμενον, ὅτε προλαμβάνειν παρὰ τὸν ἡλιακὸν δρόμον μῆνα ὅλον, δι' ἣν αἰτίαν τοὺς ἐμβολίμους μῆνας ἔταξαν ἄγεσθαι ἐν τῷ τρίτῳ ἔτει, καὶ πέμπτῳ, καὶ ὀγδόῳ, δύο μὲν μῆνας μεταξὺ δύο ἐτῶν πιπτόντων, ἕνα μεταξὺ ἑνὸς ἐνιαυτοῦ ἀγομένου. Οὐδὲν δὲ διαφέρει, ἐὰν καὶ ἐν ἄλλοις ἔτεσι τὴν αὐτὴν διάταξιν τῶν ἐμβολίμων μηνῶν ποιήσηταί τις. Ἄγεται δὲ ὁ κατὰ σελήνην ἐνιαυτὸς ἡμερῶν τνδ. δι' αἰτίαν δὲ τοιάνδε· ὑπέλαβον εἶναι τὸν κατὰ σελήνην μῆνα ἡμερῶν κθ α/β, τὸν δὲ δίμηνον χρόνον ἡμερῶν νθ. Ὅθεν κοῖλον, καὶ πλήρη μῆνα παρὰ μέρος ἄγουσιν, ὅτι ἡ δίμηνος ἡ κατὰ σελήνην ἡμερῶν ἐστὶ νθ. γίνονται οὖν ἐν τῷ ἐνιαυτῷ ἓξ πλήρεις, καὶ ἓξ κοῖλοι, συνάγονται δὲ ἡμέραι τνδ. διὰ δὲ ταύτην τὴν αἰτίαν μῆνα παρὰ μῆνα πλήρη καὶ κοῖλον ἄγουσιν.

Εἰ μὲν οὖν ἔδει τοῖς καθ' ἥλιον ἐνιαυτοῖς μόνον

δὲ

δι' ἣν αἰτίαν

principio, cùm octo anni fuerint elapsi festa congruant ad easdem anni horas. Hoc enim cum fit, Sacrificia Dijs semper perficientur in ijsdem anni quadrantibus, seu horis.

In quibus annis Octaeteridis mẽses intercalares sint collocati.

Iam verò cum menses intercalares, ut maximè posibile erat, ex æquo collocarent, neque enim expectandum erat, donec menstrua fieret variatio ad apparentiam, neque iuxta Solarem cursum integer mensis erat præripiendus, quam ob caussam intercalares menses constituerunt agi in tertio anno, & quinto, & octavo, duos quidem menses inter duos annos elabentes, unum verò mensem inter unum annum actum.

Nihil autem refert, etiamsi quoque in alijs annis eandem dispositionem intercalarium mensium aliquis faceret. Agitur autem Lunaris annus dierum 354. Propter talem caussam putaverunt mensem Lunarem esse dierum 29½. Tempus autem bimestre dierum 59. Vnde cavum & plenum mensem per vices agunt, eo quod Luna bimestris dierum est 9. Fiunt igitur in anno sex pleni & sex cavi menses, colliguntur autem dies 354. Propter hanc autem caussam mensem iuxta mensem plenum, & cavum agunt.

Si igitur oporteret nos tantum an-

μόνον ἡμᾶς συμφωνεῖν, ἀπήρκει ἂν τῇ προειρημένῃ περιόδῳ χρωμένους συμφωνεῖν πρὸς τὰ φαινόμενα. ἐπεὶ δὲ οὐ μόνον δεῖ τοὺς ἐνιαυτοὺς ἄγειν καθ' ἥλιον, ἀλλὰ καὶ τοὺς μῆνας, καὶ τὰς ἡμέρας κατὰ σελήνην, ἐσκέψαντο, πῶς ἂν καὶ τοῦτο τοῦ τέλους τυγχάνῃ. Ἐπεὶ τοίνυν ὁ κατὰ σελήνην μὴν ἀκριβῶς εἰλημμένος ἐστὶν ἡμερῶν κθ $\frac{α}{β}$, τριακοστοῦ τρίτου: εἰσὶ δὲ ἐν τῇ ὀκταετηρίδι σὺν τοῖς ἐμβολίμοις μῆνες ϙθ, ἐπολυπλασίασαμ τὰς τοῦ μηνὸς ἡμέρας κθ $\frac{α}{β}$ $\frac{α}{λγ}$ ἐπὶ τοὺς ϙθ μῆνας. γίνονται οὖν ἡμέραι ,βϡκγ $\frac{α}{β}$. Ἀλλ' ἐπεὶ ὁ καθ' ἥλιον ἐνιαυτὸς ἐστὶν ἡμερῶν τξε $\frac{α}{δ}$, τὰ δὲ η ἔτη καθ' ἥλιον περιέχει ἡμέρας ,βϡκβ, ὀκταπλασιασθεῖσαι γὰρ αἱ τοῦ ἐνιαυτοῦ ἡμέραι τοσοῦτον ἀποτελοῦσι πλῆθος. Ἐπεὶ οὖν αἱ κατὰ σελήνην ἡμέραι ἦσαν ἐν τοῖς η ἔτεσι ,βϡκγ $\frac{α}{β}$, ὑστερήσομεν καθ' ἑκάστην ὀκταετηρίδα παρὰ τὴν σελήνην καὶ ἡμέρᾳ μιᾷ, καὶ ἡμίσει. Ἐν ἄρα τοῖς ις ἔτεσιν ὑστερήσομεν παρὰ τὴν σελήνην ἡμέρας γ. Δι' ἣν αἰτίαν καθ' ἑκάστην ἑκκαιδεκαετηρίδα πρὸς τὸν τῆς σελήνης δρόμον γ ἐπάγονται ἡμέραι, ἵνα κατὰ μὲν ἥλιον τοὺς ἐνιαυτοὺς ἄγωμεν, κατὰ δὲ σελήνην τοὺς μῆνας, καὶ τὰς ἡμέρας.

Primo enim 29 ducta in 99 dant 2871. Deinde ½ ducta in 99 dat 49½ Tertio $\frac{1}{33}$ ducta in 99, dat 3. Quæ producta in unam summam collecta, dant 2923½.

Γενο-

nis Solaribus congruere, sufficeret, cum prædicta Periodo uteremur, eam congruere ad apparentias. Cum verò non tantum secundum Solem oporteat annos agere, sed etiam menses, & dies secundum Lunam, consideraverunt, qua ratione & hoc finem suum assequeretur. Cum igitur Lunaris mensis præcise sumtus sit dierum $29\frac{1}{2}$ & $\frac{1}{33}$, sint aūt in Octaeteride una cum intercalaribus menses 99, multiplicaverūt mensis dies $29\frac{1}{2}$ & $\frac{1}{33}$ in 99 menses, fiunt igitur dies $2923\frac{1}{2}$. Atqui cum annus Solaris sit dierum $365\frac{1}{4}$, & octo anni Solares contineant dies 2922, octies multiplicatæ dies anni hunc efficiunt numerum. Cum igitur Lunares dies sint in 8 annis $2923\frac{1}{2}$, destituemur in quavis Octaëteride iuxta Lunam, & diei & insuper dimidio. Quare in 16 annis destituemur iuxta Lunam diebus 3. Quam ob caussam in quavis Hexkædecaeteride ad Lunæ cursum tres adijciuntur dies, ut secundum Solem annos agamus, secundum Lunam autem menses, & dies.

Quæritur Periodus 16 annorum, quæ dicitur Hexkædecaëteris.

Γινομένης δὲ τῆς τοιαύτης διορθώσεως, ἕτερον ἁμάρτημα ἐπηκολούθει. αἱ γὰρ κατὰ τὴν σελήνην ἡμέραι ἐπαγόμεναι γ, ἐν τοῖς ις ἔτεσι πλεονάζουσι πρὸς τὸν ἥλιον, ἐν ταῖς ις δεκαετηρίσι λ ἡμέρας πρὸς τὰς τοῦ ἡλίου ὥρας, ὅπερ ἐστὶ μῆν. Δι' ἣν αἰτίαν δι' ἐτῶν ρξ εἷς μὴν τῶν ἐμβολίμων ἐκ τῶν ὀκταετηρίδων ὑφαιρεῖται. Ἀντὶ γὰρ τῶν τριῶν μηνῶν τῶν ὀφειλόντων ἐν τοῖς η ἔτεσιν ἄγεσθαι, β μόνον ἐμβάλλονται: ὥστε πάλιν ἀπ' ἀρχῆς, τοῦ μηνὸς προεξαιρεθέντος, κατὰ μὲν τοὺς μῆνας, καὶ τὰς ἡμέρας τῇ σελήνῃ συμφωνεῖν, κατὰ δὲ τοὺς ἐνιαυτοὺς τῷ ἡλίῳ.

Τοιαύτης δὲ γινομένης διορθώσεως, οὐδ' οὕτως συμβαίνει συμφωνεῖν πρὸς τὸ φαινόμενον. ὅλην γοῦν τὴν ὀκταετηρίδα διημαρτῆσθαι συμβέβηκε καὶ κατὰ τοὺς μῆνας, καὶ κατὰ τὰς ἡμέρας, καὶ κατὰ τοὺς ἐμβολίμους. ὁ γὰρ μηνιαῖος χρόνος οὐκ ἀκριβῶς εἴληπται. Ἔστι γὰρ ὁ μηνιαῖος χρόνος ἀκριβῶς λαμβανόμενος ἡμερῶν κθ, καὶ πρώτων ἑξηκοστῶν λα, καὶ δευτέρων μ, καὶ τρίτων ν, καὶ τετάρτων κδ. Διὰ δὲ τοῦτο δεήσει ποτὲ ἐν τοῖς ις ἔτεσιν, ἀντὶ τῶν ἐμβολίμων ἡμερῶν δ ἐπάγεσθαι.

Ὅθεν οὐ δεῖ ἐν οὐδεμιᾷ περιόδῳ ἴσους τοὺς κοίλους τοῖς πλήρεσιν ἄγειν, ἀλλὰ πλεονά-

ζειν

Cum talis emendatio facta esset, sequitur aliud erratum. Nam Lunares dies 3 intercalati in 16 annis abundant ad Solē in 16 Decaeteridibus, diebus 30 ad horas Solis, quanta abundantia est mensis. Ob quam caussam per annos 160 unus mensis Intercalarium ex Octaeteridibus aufertur. Nam pro tribus mensibus, qui debebant in 8 annis agi, duo tantum intercalantur, ut rursus ab initio, mense subtracto, in mensibus & diebus congruerent ad Lunam, in annis verò ad Solem.

Multiplex erratum in Octaeteride.

Talis cum facta esset correctio, ne sic quidem contingit eam congruere ad Apparentiam. Totam enim Octaeterida contigit aberrare & secundum menses, & secundum dies, & secundum intercalares menses. Nam menstruum tempus non præcise sumtū est. Est enim tempus menstruum præcise sumtum dierum 29, & minutorum primorum 31, & secundorum 40, & tertiorum 50, & quartorū 24. Propter hoc autem oportebit aliquando in 16 annis pro intercalaribus diebus dies 4 intercalari.

Vera quantitas mensis Lunaris.

Vnde non oportet in ulla Periodo menses cavos pares plenis agere, sed plu-

ξειν τοὺς πλήρεις τῶν κοίλων. Εἰ μὲν γὰρ ὁ μηνιαῖος χρόνος μόνον ἦν ἡμερῶν κθ $\frac{α}{β}$, ἴσους ἔδει τοὺς πλήρεις, καὶ τοὺς κοίλους μῆνας ἄγεσθαι· νυνὶ δὲ ἐστὶ μόριον αἰσθητὸν ἐν τῷ μηνιαίῳ χρόνῳ, ὃ συμπληροῖ ἡμερήσιον μέγεθος. Δι' ἣν αἰτίαν δεήσει πλεονάζειν τοὺς πλήρεις τῶν κοίλων μηνῶν. οὐδὲ μὴν ἐν τοῖς η ἔτεσι γ οὖν ἔνεισι μῆνες ἐμβόλιμοι. Εἰ μὲν γὰρ ἦν ὁ ἐνιαυτὸς ὁ κατὰ σελήνην ἡμερῶν τνδ, ἦν ἂν ἡ ὑπεροχὴ τοῦ ἡλιακοῦ ἐνιαυτοῦ ἡμερῶν ια $\frac{α}{δ}$, αὗται δὲ ὀκτάκις πολυπλασιασθεῖσαι συνεπλήρουν ἂν τοὺς γ μῆνας τοὺς ἐμβολίμους. Νυνὶ δὲ ὁ κατὰ σελήνην ἐνιαυτὸς ἀκριβῶς ἐστὶ τνδ ὡς ἔγγιστα τελείου. Ἐὰν οὖν ἀφέλωμεν τὰς τνδ $\frac{α}{γ}$ ἀπὸ τῶν τξε $\frac{α}{δ}$, καταλειφθήσονται ἡμέραι ι, ια δωδεκάδες. αὗται δὲ ὀκταπλασιασθεῖσαι ἀποτελοῦσιν ἡμέρας πζ $\frac{α}{γ}$ ὡς ἔγγιστα. αὗται δὲ ἡμέραι οὐ συμπληροῦσι γ μῆνας. Δι' ἣν αἰτίαν οὐ δεῖ ἀγνοεῖν, ἐν τοῖς η ἔτεσι γ μῆνας ἐμβολίμους μὴ δύνασθαι εἶναι. Τοῦτο δὲ καὶ διὰ τῆς ἐννεακαιδεκαετηρίδος φανερὸν γίνεται. Ἐν γὰρ τοῖς ιθ ἔτεσιν ζ μῆνες ἐμβόλιμοι ἄγονται, καὶ ἐν πλειόνων χρόνων συμφωνήσει ἡ ἐννεακαιδεκαετηρὶς κατὰ

res esse plenos cavis. Si enim menstruum tempus tantū esset dierum $29\frac{1}{2}$, oporteret pares menses plenos, & cavos agi: nunc autem est particula sensibilis in menstruo tempore, quæ complet diurnam magnitudinē. Quam ob caussam oportet plenos menses plures esse cavis mensibus. Neq; verò in octo annis tres iam insunt menses intercalares. Si enim annus Lunaris esset dierum 354, Solaris annus haberet excessum dierum $11\frac{1}{4}$. Hi octies multiplicati complerent tres menses intercalares. Nunc verò Lunaris annus præcise est dierum $354\frac{1}{3}$ ferè. Si igitur $354\frac{1}{3}$ auferamus à $365\frac{1}{4}$, relinquentur dies $10\frac{11}{12}$ quæ per 8 multiplicatæ efficiunt dies $87\frac{1}{3}$ ferè. Hi autem dies non complent tres menses. Quam ob caussam non est ignorandum, in octo annis tres menses intercalares non posse esse. Hoc autem etiam per Enneakædecaëterida, id est, Periodum 19 annorum fit manifestum. In annis enim 19 aguntur 7 menses intercalares, & ex maioribus temporibus congruet Enneakædecaëteris

Differentia inter $365\frac{1}{4}$ & $354\frac{1}{3}$ est $10\frac{11}{12}$ quæ multiplicata per 8 dat productum $87\frac{1}{3}$ ut textus habet.

κατὰ τὴν τῶν μηνῶν ἀγωγήν. Ἐν ἄρα ταῖς ὀκτὼ ἐννεακαιδεκαετηρίσιν ἐμβόλιμοι μῆνες ἀχθήσονται νϛ. Ἐν δὲ τῇ ὀκταετηρίδι μῆνες ἐμβόλιμοι ἄγονται γ. Ἐν ἄρα ταῖς ιθ ὀκταετηρίσιν, ὅπερ ἐστὶν ἔτη ρνβ, ἐμβόλιμοι ἄγονται νζ. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ κατὰ τὴν ἐννεακαιδεκαετηρίδα τὴν συμφωνοῦσαν τοῖς φαινομένοις ἐμβόλιμοι μῆνες ἄγονται νϛ: ὥστε πλεονάζειν τὴν ὀκταετηρίδα ἑνὶ μηνὶ ἐμβολίμῳ. οὐκ ἄρα ἡ ὀκταετηρὶς τρεῖς μῆνας ἔχει ἐμβολίμους, ἀλλὰ καὶ κατὰ τοῦτο διημαρτημένη ἡ περίοδος.

Periodus 19 annorum.

Διόπερ ἐπειδὴ διημαρτημένην εἶναι συνέβαινε τὴν ὀκταετηρίδα κατὰ πάντα: ἑτέραν περίοδον συνεστήσαντο τὴν τῆς ἐννεακαιδεκαετηρίδος οἱ περὶ Εὐκτήμονα, καὶ Φίλιππον, καὶ Κάλλιππον ἀστρόλογοι. Παρετήρησαν γὰρ ἐν τοῖς ιθ ἔτεσι περιεχομένας ἡμέρας ,ϛϡμ, μῆνας δὲ σλε σὺν τοῖς ἐμβολίμοις. Ἄγονται δὲ ἐν τοῖς ιθ ἔτεσι μῆνες ἐμβόλιμοι ἑπτά. γίνεται οὖν ὁ ἐνιαυτὸς κατ᾽ αὐτοὺς ἡμερῶν τξε, καὶ ε ἐννεακαιδεκάτων. Ἐν δὲ τοῖς σλε μησὶ, κοίλους ἔταξαν ρι, πλήρεις δὲ ρκε: ὥστε μὴ ἄγεσθαι ἕνα καὶ ἕνα κοῖλον, καὶ πλήρη, ἀλλὰ καὶ β ποτὲ κατὰ τὸ ἑξῆς πλήρεις. τοῦτο γὰρ ἡ φύσις ἐπιδέχεται τῶν φαινομένων

Annus Solaris dierum 365, 5/19. In Periodo 19 annorum

in mensium usu. Igitur in octo Periodis 19 annorum intercalares menses agentur 56. In Octaëteride menses intercalares aguntur tres. Igitur in 19 Octaëteridibus, quæ faciunt annos 152, intercalares aguntur 57. In eodem tempore in periodo decennovenali, quæ apparentijs congruit, intercalares menses aguntur 56. Itaque Octaeteris uno mense intercalari superat periodum decennovenalem. Non igitur Octaëteris potest tres menses intercalares habere, sed & hæc periodus in hoc fefellit.

Periodus decennovenalis, seu 19 annorum.

Quamobrem cum contingeret Octaeterida per omnia aberrare, aliam constituerunt periodum, nempe Decennovenalem Euctemon, Philippus, & Callippus Astrologi. Observarunt enim in 19 annis contineri dies 6940, menses verò 235 cum intercalaribus mensibus. Aguntur autem in 19 annis menses intercalares septem. Annus igitur secundum eos fit dierum $365\frac{5}{19}$. In mensibus autem 235, cavos posuerunt 110, plenos verò 125. Itaque non agitur unus & unus cavus, & plenus, sed interdum quoque duo pleni continuo. Hoc enim natura in appa-

rentijs

μόνων ὑπερέχει πρὸς τὴν τῆς σελήνης λόγον, ὅπερ ἐν τῇ ὀκταετηρίδι οὐκ ἐνῆν. Ἐν δὲ τοῖς σλε μησὶ κοίλους ἔταξαν ρι δι' αἰτίαν τοιαύτην. Ἐπεὶ μῆνες ἄγονται σλε ἐν τοῖς ιθ ἔτεσιν, ὑπεστήσαντο τούτους ἅπαντας τριακονθημέρους, καὶ συνάγονται ἡμέραι ͵ζν, ἔδει δὲ λέγεσθαι ρι κοίλους, δι' ἣν αἰτίαν τῇ ἐννεακαιδεκαετηρίδι ἡμέραι γίνονται τῆς σελήνης ͵ςϡμ. Πλεονάζουσιν οὖν, τριακονθημέρων ἀγομένων πάντων τῶν μηνῶν, αἱ ͵ζν ἡμέραι τῶν ͵ςϡμ ἡμερῶν ἡμέρας ρι. Διὸ ρι μῆνας συνάγουσι κοίλους, ἵνα ἐν τοῖς σλε μησὶ συμπληρωθῶσιν αἱ τῆς ἐννεακαιδεκαετηρίδος ἡμέραι ͵ςϡμ, ἵνα, ὡς ἐνδέχεται, μάλιστα δ' ἴσου ἡ τῶν ἐξαιρεσίμων ἡμερῶν γένηται πραγματεία, ἐμέρισαν τὰς ͵ςϡμ ἡμέρας εἰς ρι, γίνονται οὖν ἡμέραι ξγ. Δι' ἡμερῶν ἄρα ξγ ἐξαιρέσιμον τὴν ἡμέραν ἄγειν δεῖ ἐν αὐτῇ τῇ περιόδῳ. οὐδὲ γίνεται ἐξαιρέσιμος ἡ τριακὰς διὰ παντός, ἀλλ' ἡ δὴ τῶν ξγ ἡμερῶν πίπτουσα ἐξαιρέσιμος λέγεται. Ἐν δὲ τῇ περιόδῳ ταύτῃ δοκοῦσιν οἱ μὲν μῆνες καλῶς εἰλῆφθαι, καὶ οἱ ἐμβόλιμοι συμφώνως τοῖς φαινομένοις διατετάχθαι· ὁ δὲ ἐνιαύσιος χρόνος σύμφωνος εἶναι τοῖς φαινομένοις. Ὁ γὰρ ἐνιαύσιος χρόνος ἐκ πλεόνων ἐτῶν παρατετηρημένος συμπεφώνηκεν,

ὅτι

menses 235, è quibus si 110 ponantur cavi, relinquuntur 125 pleni.

Λ γίνονται ρι μῆνες

Dies 6940 divisi per 110 dant 63 dies.

rentijs admittit ad Lunæ rationem, quod in Octaeteride non inerat. In 235 autem mensibus cavos posuerunt 110 propter hanc caussam. Cùm menses agantur 235 in 19 annis, suppoſuerunt hos omnes 30 dierum, & colliguntur dies 7050. Oportebat autem dici 110 cavos, quam ob caussam periodo decennovenali dies fiunt secundum Lunam 6940. Cum igitur omnes menses 30 dierum aguntur, dies 7050 superant dies 6940, diebus 110. Quare 110 menses colligunt cavos, ut in 235 mensibus compleantur dies periodi decennovenalis 6940, ut quantum licebat, maximè ex æquo dierum exemptilium tractatus fieret, diviserunt 6940 dies in 110. Fiunt igitur dies 63. Per dies igitur 63 oportet agere exemptilem diem in eadem periodo. Neque semper fit exemptilis dies tricesimus, sed is, qui per 63 dies cadit, exemptilis dicitur. In hac periodo videntur menses pulchre sumti, & intercalares sic ordinati, ut ad apparentias congruant. Tempus verò annuum apparentijs cougruum sumptum est. Nam tempus annuum ex pluribus annis observatum congruit,

quod

ὅτι ἐστὶν ἡμερῶν τξε ἐννεακαιδεκάτων ε.

Πλεονάζουσι δὲ αὗται τῶν τξε ᾱ/δ ἡμέρας ἑβδομηκοστέκτῳ. Δι᾽ ἣν αἰτίαν οἱ περὶ Κάλιππον γενόμενοι ἀστρολόγοι διωρθώσαντο τὸ πλεονάζον τῆς ἡμέρας, καὶ συνεστήσαντο τὴν ἑξηκαιεβδομηκονταετηρίδα συνεστηκυῖαν ἐκ δ᾽ ἐννεακαιδεκαετηρίδων, αἵτινες περιέχουσι μῆνας μὲν ϡμ, ὧν ἐμβόλιμοι κη, ἡμερῶν δὲ δισμυρίων ,ϛϡνθ, τῇ δὲ τάξει τῶν ἐμβολίμων ὁμοίως ἐχρήσαντο. Καὶ δοκεῖ μάλιστα πάντων ἡ αὐτὴ περίοδος τοῖς φαινομένοις συμφωνεῖν.

Periodus 79 annorum.

ΠΕΡΙ ΣΕΛΗΝΗΣ φωτισμῶν.

Ἡ σελήνη ὑπὸ τοῦ ἡλίου φωτίζεται. Ἀεὶ γὰρ τὸ λαμπρὸν πρὸς τὸν ἥλιον ἐπεστραμμένον ἔχει: ὥστε ὅταν προανατέλλει τοῦ ἡλίου, τὸ λαμπρὸν αὐτῆς πρὸς ἀνατολὴν βλέπει. Καὶ ὅταν προδύνῃ τοῦ ἡλίου, καὶ ὅταν συγκαταδύνῃ τῷ ἡλίῳ, ἐπέστραπται τὸ λαμπρὸν πρὸς τὸν ἥλιον. Ἐν δέ τισι τῶν ἡμερῶν παρατετήρηται ἡ σελήνη κατὰ τὸ ἐναντίον συγκαταδύνουσα τῷ ἡλίῳ, καὶ τὸ λαμπρὸν ἔχουσα βλέπον

quod sit dierum $365\frac{5}{19}$. qui numerus numerum $365\frac{1}{4}$ superat $\frac{1}{76}$. Quam ob caussam Astrologi, qui tempore Calippi vixerunt, correxerunt excessum diei, & constituerunt Periodum 76 annorum, constantem ex 4 Decennovenalibus, quæ continent menses quidem 940, quorum intercalares 28, dies verò [a] 27759, Ordine aũt mensium intercalarium simili sunt usi. Ac videtur omnium maximè eadem periodus ad apparentias congruere.

Periodus 76 annorum.

a Calculo explorandum, an hic numerus cum prædictis congruat. ut, annus secundum Calippum facit dies $365\frac{5}{19}$, ut paulo ante est dictum. Quot dies faciunt anni 76? Facta operatione prodeunt 27760 dies. Item 19 anni dant secundum Calippum dies 6940, ut paulò antè dictum est: Quot dies dant anni 76? Facta operatione prodeunt dies 27760, quot prodibant in priori operatione.

DE LVNAE ILLVminationibus.

Luna à Sole illuminatur. Semper enim splendentem partem habet cõversam ad Solem: & cum oritur ante Solem, pars eius splendens ad ortum respicit: & cum occidit ante Solem, & cum occidit post Solem, pars splendens ad Solem conversa est. In quibusdam autem diebus observata est Luna, rarò occidere post Solem, & habere partem

Lunæ pars illuminata quo respiciat.

πρὸς τὴν δύσιν· παραλλάξασα δὲ τῇ νυκτὶ
πρὸς τὸν ἥλιον, καὶ προανατείλασα τοῦ ἡλίου,
τὸ λαμπρὸν ἔχουσα θεωρεῖται πρὸς ἀνατο-
λήν. Ἐξ οὗ φανερόν, ὅτι ἡ σελήνη ὑπὸ τοῦ ἡλίου
φωτίζεται. Παρατετήρηται δὲ καὶ τὰ τοιαῦ-
τα. Ὅτε μὲν γὰρ κατὰ χειμερινὰς τροπὰς
ὑπάρχων ὁ ἥλιος ἀνατέλλῃ, τότε τὸ μεσαί-
τατον τοῦ πεφωτισμένου βλέπει πρὸς τὸν ἥ-
λιον, ὥστε τὴν τὰς κεραίας ἐπιζευγνύουσαν
τῆς σελήνης εὐθεῖαν, δίχα καὶ πρὸς ὀρθὰς
τέμνεσθαι ὑπὸ τῆς εὐθείας τῆς ἀγομένης
ἀπὸ τοῦ κέντρου τοῦ ἡλίου ἐπὶ τὴν διχοτομίαν
τῆς σελήνης. Ὅταν δὲ κατὰ θερινὰς τρο-
πὰς ὑπάρχων ἀνατέλλῃ ὁ ἥλιος, πάλιν
ἔστραπται τὸ μέσον τοῦ πεφωτισμένου πρὸς τὸ
μέσον τοῦ ἡλίου, ὥστε ὁμοίως διχοτομεῖσθαι, καὶ
πρὸς ὀρθὰς τέμνεσθαι τὴν προειρημένην εὐ-
θεῖαν. Τὸ δὲ αὐτὸ γίνεται καὶ ἐπὶ τῶν δύ-
σεων, ὥστε καὶ διὰ τούτου τοῦ σημείου συνάγεσθαι,
ὅτι ὑπὸ τοῦ ἡλίου φωτίζεται ἡ σελήνη. Πε-
φωτισμένον μέντοιγε διὰ παντὸς αὐτῆς τὸ ἴσον
ἐστὶν ὡς ἡμισφαίριον· οὐ φαίνεται δὲ διὰ παν-
τὸς αὐτῆς τὸ ἴσον πεφωτισμένον, ὡς πρὸς τὴν
ἡμετέραν ὅρασιν διὰ τὰς πρὸς τὸν ἥλιον ἀπο-
στάσεις. Ὅταν μὲν γὰρ ἐν τῇ τριακάδι ἐν τῇ
αὐτῇ μοίρᾳ γίνηται ὁ ἥλιος, καὶ ἡ σελήνη,
τότε

ad occaſum : Cum verò nocturno tempore alternis variat ad Solem, & ante Solem oritur, videtur ſplendentem partem habere ad ortum. Vnde manifeſtum eſt, Lunam à Sole illuminari. Obſervata ſunt & talia. Cum enim Sol in hybernis converſionibus exiſtens oritur, tunc medium in illuminata parte Lunæ reſpicit ad Solem, ita ut recta linea, quæ cornua Lunæ coniungit, æqualiter & ad angulos rectos ſecetur à recta earum linearum, quæ ducuntur à centro Solis ad æqualem ſectionem Lunæ. Cum verò Sol in æſtivis exiſtens converſionibus oritur, rurſus medietas illuminatæ partis Lunæ converſa eſt ad medium Solis, ita ut ſimiliter æqualiter, & ad angulos rectos ſecetur prædicta recta. Idem fit & in occaſibus, ut per hoc etiam ſignum colligatur, à Sole Lunam illuminari. Veruntamen pars Lunæ media tanquam hemiſphærium, ſemper illuminatur. Non tamen ſemper apparet eius pars media illuminata, quo ad noſtram viſionem propter eius à Sole diſtantias. Cum enim die triceſimo in eodem gradu fuerint Sol, & Luna,

Quantum de Luna à Sole illuminetur.

L tum

τότε τὸ ἡμισφαίριον ἐπεστραμμένον μὲν πρὸς τὸν ἥλιον, ἀπεστραμμένον δὲ ἀπὸ τῆς ἡμετέρας ὁράσεως φωτίζεται. ὑποκείσθω γὰρ ἡ σελήνη φέρεται τοῦ ἡλίου. Ὅταν δὲ παραλλάξῃ ἡ σελήνη πρὸς τὸν ἥλιον περὶ τὴν νουμηνίαν, τότε μηνοειδὴς ἡ σελήνη θεωρεῖται. Τοῦ γὰρ ἡμισφαιρίου τοῦ πεφωτισμένου μικρὸν μέρος παρακλίνεται πρὸς τὴν ἡμετέραν ὅρασιν. Ὅταν δὲ ἀπέχῃ ἡ σελήνη ἀπὸ τοῦ ἡλίου ἐν ταῖς ἐφεξῆς ἡμέραις, πλεῖον ἀεὶ καὶ πλεῖον τὸ πεφωτισμένον ὑφ' ἡμῶν θεωρεῖται. Ὅταν δὲ τὸ $\frac{α}{δ}$ μέρος τοῦ ζωδιακοῦ κύκλου ἀπόσχῃ ἡ σελήνη, διχότομος θεωρεῖται. Τότε γὰρ ἡμισφαιρίου τοῦ πεφωτισμένου ὑπὸ τοῦ ἡλίου τὸ ἥμισυ ἐφ' ἡμᾶς ἐπέστραπται. Μείζονος δὲ γινομένου τοῦ διαστήματος τῆς σελήνης ἀπὸ τοῦ ἡλίου, μεῖζον καὶ τὸ πεφωτισμένον. Ὅταν δὲ κατὰ διάμετρον γένηται τῷ ἡλίῳ, τὸ πεφωτισμένον ἡμισφαίριον ἐναντίον γίνεται πρὸς τὴν ἡμετέραν ὅρασιν. καὶ καθόλου δὲ πρὸς λόγον τῶν διαστάσεων τὰ μεγέθη τῶν φωτισμῶν θεωρεῖται. Τὸ δὲ τελευταῖον ὅταν ὑποτροχάσῃ τῷ ἡλίῳ ἡ σελήνη, ἀφώτιστος βλέπεται. Τὸ γὰρ ἡμισφαίριον αὐτῆς τὸ πεφωτισμένον ἄνω πρὸς τὸν ἥλιον ἐπέστραπται. Ὅθεν ὅλως ἀθεώρητον γίνεται τὸ πε-

ἔχει τὸ πεφωτισμένον ὄψεως ἡμῖν

tum hemisphærium conversum quidem ad Solem, aversum verò à visione nostra illuminatur. Fertur enim Luna infra Solem. Cum verò alternis vicibus Luna variat ad Solem circa novilunium, tunc Luna falcata apparet. Nam hemisphærij illuminati parva pars declinat ad nostram visionem. Cum verò abest Luna à Sole in diebus sequentibus, semper plus, & plus de illuminata parte à nobis conspicitur. Cum verô per quadrantem Zodiaci circuli abfuerit Luna, dimidiata apparet. Tunc enim hemisphærij illuminati à Sole meditas ad nos conversa est. Cum maior fit Lunæ à Sole distantia, etiam maior est pars illuminata. Cum autem opposita fuerit Soli, illuminatum hemisphærium nostro conspectui offertur. Et universaliter secundum rationem distantiarum magnitudines illuminationum spectantur. Postremò, cum Luna cucurrerit sub Sole, expers luminis apparet. Hemisphærium enim eius illuminatum sursum ad Solem conversum est. Vnde iure pars Lunæ

τὸ πεφωτισμένον μέρος τῆς σελήνης. Ἐξ ὧν φανερὸν, ὅτι ἡ σελήνη ὑπὸ τοῦ ἡλίου φωτίζεται: λαμβάνει δὲ σὺμ πάντας σχηματισμοὺς ἡ σελήνη ἐν τῷ μηνιαίῳ χρόνῳ, δὶς αὐτοὺς ἀποτελοῦσα. Εἰσὶ δὲ οἱ σχηματισμοὶ οἵδε, μηνοειδὴς, διχότομος, ἀμφίκυρτος, πανσέληνος. μηνοειδὴς μὲν οὖν γίνεται περὶ τὰς ἀρχὰς τῶν μηνῶν, διχότομος δὲ περὶ τὴν ὀγδόην τοῦ μηνὸς, ἀμφίκυρτος δὲ περὶ τὴν δωδεκάτην, πανσέληνος δὲ περὶ τὴν διχομηνίαν, καὶ πάλιν ἀμφίκυρτος μετὰ τὴν διχομηνίαν, διχότομος δὲ περὶ τὴν εἰκοστὴν τρίτην, μηνοειδὴς δὲ περὶ τὰ ἔσχατα τῶν μηνῶν. οὐ διὰ παντὸς δὲ ἐν ταῖς ὁμωνύμοις ἡμέραις σὺμ αὐτοὺς σχηματισμοὺς ἡ σελήνη ἀποτελεῖ, ἀλλ' ἐν διαφόροις ἡμέραις κατὰ τὴν ἀνωμαλίαν τῆς κινήσεως. Ταχίσῃ μὲν γὰρ φαίνεται ἡ σελήνη μηνοειδὴς τῇ νουμηνίᾳ, Βραδυτάτῃ δὲ τῇ τρίτῃ, καὶ μένει μηνοειδὴς, ὅτε μὲν ἕως τῆς πέμπτης, ὅτε δὲ βραδύτατον, ἕως τῆς ἑβδόμης: Διχότομος δὲ γίνεται ταχίσῃ μὲν περὶ τὴν ἕκτην, βραδυτάτῃ δὲ περὶ τὴν ὀγδόην: ἀμφίκυρτος δὲ γίνεται ταχίσῃ μὲν περὶ τὴν δεκάτην, βραδυτάτῃ δὲ περὶ τὴν ιγ: Πανσέληνος δὲ γίνεται ταχίσῃ μὲν περὶ τὴν ιγ, βραδυτάτῃ δὲ περὶ

τέτταρας

τάχιστα

τάχιστα

illuminata non ſpectatur. E quibus manifeſtum, Lunam à Sole illuminari. Accipit aūt omnes cōfigurationes Luna in menſtruo tempore, bis eas efficiens. Sunt aūt configurationes hæ, falcata, dimidiata, gibboſa & Plena. Falcata efficitur circa principia menſium, dimidieta circa diem octavam menſis, Gibboſa circa duodecimā, & Plena circa medietatem menſis, & rurſus gibboſa poſt medietatem menſis, dimidiata circa viceſimam tertiam, & falcata circa extremitates menſium.

Lunæ configurationes.

Non ſemper autem in diebus eiusdem nominis easdem configurationes Luna efficit, ſed in diverſis diebus ſecundum inæqualitatem motus. Cum enim celerrima eſt, apparet Luna falcata ipſo die noviluniĳ, cum tardiſsima, die tertio, & manet falcata interdum usque ad diem quintum, interdum cum tardiſsima eſt, usque ad ſeptimum diem. Dimidiata efficitur, cum eſt velociſsima, circa ſextum, cum tardiſsima, circa octavum. Gibboſa efficitur, cum eſt celerrima, circa decimū, cū eſt tardiſsima, circa 13. Plena redditur, cum eſt celerrima, circa 13, cū tardiſsima,

περὶ τὴν ιζ. ἀμφίκυρτος δὲ τὸ δεύτερον, ταχίστη μὲν ἀνατέλλει περὶ τὴν ιη, βραδυτάτη δὲ περὶ τὴν κβ: διχότομος δὲ γίνεται τὸ δεύτερον ταχίστη μὲν περὶ τὴν εἰκάδα καὶ μίαν, βραδυτάτη δὲ περὶ τὴν εἰκάδα καὶ τρίτην: μηνοειδὴς δὲ τὸ δεύτερον γίνεται ταχίστη μὲν περὶ τὴν εἰκάδα καὶ πέμπτην, βραδυτάτη δὲ περὶ τὴν εἰκάδα καὶ ἕκτην. Ὁ δὲ πᾶς μηνιαῖος χρόνος ἡμερῶν ἐστὶ κθ $\frac{α}{β}$. $\frac{α}{γ}$. Ἔστι γὰρ μὴν χρόνος ἀπὸ συνόδου εἰς σύνοδον, ἀπὸ τῆς πανσελήνου ἐπὶ τὴν πανσέληνον: σύνοδος δὲ ἐστὶ χρόνος, ἐν ᾧ ὁ ἥλιος καὶ ἡ σελήνη ἐν τῇ αὐτῇ μοίρᾳ γίνονται. ὅπερ συμβαίνει τῇ τριακάδι.

ΠΕΡΙ ἘΚΛΕΊΨΕΩΣ ἡλίου.

Αἱ τοῦ ἡλίου ἐκλείψεις γίνονται κατὰ ἐπιπρόσθησιν σελήνης. μετεωροτέρου γὰρ φερομένου τοῦ ἡλίου, ταπεινοτέρας δὲ τῆς σελήνης, ὅταν κατὰ τὴν αὐτὴν μοῖραν γένηται ὁ ἥλιος, καὶ ἡ σελήνη, ὑποτρέχουσα ἡ σελήνη τὸν ἥλιον, ἀντιφράττει ταῖς ἀπὸ τοῦ ἡλίου φερομέναις αὐγαῖς πρὸς ἡμᾶς. Διόπερ οὐδὲ ῥητέον αὐτὰς κυρίως ἐκλείψεις, ἀλλ' ἐπι-

circa 17. Gibbosa secundò, cum est celerrima, oritur circa 18, cum tardissima, circa 22. Dimidiata secundò, cum est celerrima, circa 21, cum tardissima, circa 23. Falcata secundò fit, cum est celerrima, circa 25, cum est tardissima, circa 26. Totum autem tempus menstruum est dierum 29½. ⅓. Est enim Mensis tempus à coniunctione ad coniunctionem, à plenilunio ad plenilunium. Coniunctio autem est tempus, in quo Sol, & Luna in eodem gradu constituuntur, quod contingit die 30 mensis.

DE ECLIPSI Solis.

SOlis Eclipses fiunt secundum incursionem Lunæ. Cum enim Sol superiùs feratur, Luna inferius, & cum in eodem gradu fuerint Sol, & Luna, Luna sub Sole currens officit radijs Solis, qui ad nos feruntur. Quamobrē ne dicendum quidem est, eas proprie esse eclipses, sed in-

ἐπιπροσθήσεις. Τοῦ μὲν ἡλίου οὐδ᾽ ἓν μέρος
οὐδέποτε ἐκλείπει. ἡμῖν δὲ ἀθεώρητος γί-
νεται διὰ τὴν ἐπιπρόσθησιν τῆς σελήνης.
Δι᾽ ἣν αἰτίαν οὐδ᾽ ἴσαι πάλιν αἱ ἐκλείψεις
γίνονται, ἀλλὰ κατὰ τὰς τῶν κλιμάτων
διαφορὰς μεγάλαι παραλλαγαὶ γίνονται
περὶ τὰ μεγέθη τῶν ἐκλείψεων. Κατὰ γὰρ
τὸν αὐτὸν χρόνον, οἷς μὲν ὅλος ὁ ἥλιος
ἐκλείπει, οἷς δὲ τὸ ἥμισυ, οἷς δὲ τὸ ἔλαττον
τοῦ ἡμίσεως, οἷς δὲ τὴν ἀρχὴν οὐδὲν μέρος
τοῦ ἡλίου ἐκλελοιπὸς θεωρεῖται. Ὅσοι μὲν
γὰρ κατὰ κάθετον οἰκοῦσι τῆς ἐπιπροσθήσεως,
τούτοις ὅλος ἀθεώρητος γίνεται ὁ ἥλιος.
Τοῖς δὲ ἔξω μέρος τι τῆς ἐπιπροσθήσεως
ἔχουσι, μέρος τι τοῦ ἡλίου ἐκλελοιπὸς βλέ-
πεται. Τοῖς δὲ ἔξω ὁλοσχερῶς τῆς ἐπιπροσ-
θήσεως οἰκοῦσιν, οὐδ᾽ ἓν μέρος τοῦ ἡλίου ἐκλε-
λοιπὸς θεωρεῖται. Ὅτι δὲ κατ᾽ ἐπιπρόσθη-
σιν τῆς σελήνης ὁ ἥλιος ἐκλείπει, μέγιστον
τεκμήριον, τὸ μὴ γίνεσθαι ἐν ἄλλῃ ἡμέρᾳ τὰς
ἐκλείψεις, ἀλλ᾽ ἐν τῇ τριακοστῇ μόνον, ὅτε
συνοδεύει ἡ σελήνη τῷ ἡλίῳ, καὶ ἐκ τοῦ
πρὸς λόγον τῶν οἰκήσεων τὰ με-
γέθη τῶν ἐκλείψεων
γίνεσθαι.

ΠΕΡΙ'

incursiones. Solis quidem nulla pars unquam deficiet, nobis verò ipse redditur invisibilis propter incursionem Lunæ. Quam ob caussam ne æquales quidem rursus eclipsis fiunt, sed secundum climatum differentias magnæ diversitates fiunt circa magnitudines eclipsium. Eodem enim tempore aliis totus deficit Sol, aliis medietas Solis, aliis minor pars medietate, aliis initio nulla pars Solis deficere spectatur. Nam qui habitant in perpendiculo incursionis, his totus Sol fit invisibilis. Qui verò extra perpendiculum partem aliquam incursionis habent, iis pars aliqua Solis deficere videtur. Qui verò omnino extra incursionem habitant, his nulla pars Solis deficere spectatur. Quod autem secundum incursionem Lunæ Sol deficiat, maximum est argumentum, non fieri in alio die eclipses, nisi tantum in tricesimo, cum Luna coniungitur cum Sole, & inde idem cognoscitur, quod pro ratione locorum magnitudines eclipsium fiant.

ΠΕΡῚ ἘΚΛΕΊΨΕΩΣ ΤῆΣ σελήνης.

Αἱ τῆς σελήνης ἐκλείψεις γίνονται κατὰ τὴν εἰς τὸ σκίασμα τῆς γῆς ἔμπτωσιν τῆς σελήνης. Καθάπερ γὰρ καὶ τὰ λοιπὰ τῶν σωμάτων φωτιζόμενα ἀπὸ τοῦ ἡλίου σκιὰς ἀποβάλλει: οὕτως καὶ ἡ γῆ φωτιζομένη ὑπὸ τοῦ ἡλίου, σκιὰν ἀποβάλλει. Καὶ ἤδη μέντοιγε διὰ τὸ μέγεθος τῆς γῆς, εἰλικρινῆ συμβαίνει τὴν σκιὰν εἶναι, καὶ βαθεῖαν. Ὅταν οὖν κατὰ διάμετρον γένηται ἡ σελήνη τῷ ἡλίῳ, τότε καὶ τὸ σκίασμα τῆς γῆς κατὰ διάμετρον γίνεται τῷ ἡλίῳ. Ὅθεν ἡ σελήνη ταπεινοτέρα φερομένη τοῦ σκιάσματος, εὐλόγως ἐμπίπτει εἰς τὸ σκίασμα τῆς γῆς. Ἀεὶ δὲ τὸ ἐμπῖπτον αὐτῆς μέρος εἰς τὸ σκίασμα τῆς γῆς, ἀφώτιστον γίνεται τοῦ ἡλίου διὰ τὴν ἐπιπρόσθησιν τῆς γῆς. Τότε γὰρ ἐπὶ τῆς αὐτῆς εὐθείας γίνεται ὁ ἥλιος, καὶ ἡ γῆ, καὶ τὸ σκίασμα τῆς γῆς, καὶ ἡ σελήνη. Δι' ἣν αἰτίαν οὐδὲ γίνονται ἐκλείψεις τῆς σελήνης ἐν ἄλλῃ ἡμέρᾳ, ἀλλ' ἐν τῇ διχομηνίᾳ. Τότε γὰρ κατὰ διάμετρον γίνεται ἡ σελήνη τῷ ἡλίῳ. γίνονται μέντοιγε πᾶσαι αἱ τῆς σελήνης ἐκλείψεις ἴσαι. Αἱ μὲν γὰρ ἐπιπροσθήσεις αἱ γινόμεναι ἐν ταῖς τοῦ ἡλίου ἐκλείψεσι, παρὰ


τὰς

DE ECLIPSIBVS Lunæ.

LVnæ eclipſes fiunt ſecundum inci-dentiam Lunæ in umbram terræ. Quemadmodum enim & reliqua corpora, cum à Sole illuminantur, um-bras proijciunt, ſic etiam terra, cum à So-le illuminatur, proijcit umbram. Et certè iam propter magnitudinem terræ con-tingit, umbram eius manifeſtam, & pro-fundam eſſe. Cum igitur Luna Soli dia-metraliter opponitur, tunc quoque terræ umbra diametraliter opponitur Soli. Vnde Luna, cum inferius feratur, quam umbra, neceſſariò incidit in umbram ter-ræ. Semper autem pars eius, quæ in um-bram terræ incidit, nõ illuminatur à Sole propter intercurſionem terrę. Tunc enim in eadem recta linea conſtituuntur Sol, terra, umbra terræ, & Luna. Quam ob cauſſam ne fiunt quidem eclipſes Lunæ in alio die, niſi in plenilunio. Tunc e-nim diametraliter Luna opponitur So-li. Veruntamen omnes Lunæ ecli-pſes fiunt æquales. Nam incurſiones, quæ in Solis eclipſibus fiunt, propter


loca

τὰς οἰκήσεις διάφοροι γίνονται· δι᾽ ἣν αἰτίαν καὶ τὰ μεγέθη τῶν ἐκλείψεων διάφορα γίνεται: αἱ δὲ ἐμπτώσεις τῆς σελήνης εἰς τὸ σκίασμα ἴσαι πᾶσαι γίνονται κατὰ τὴν αὐτὴν ἔκλειψιν. ἤδη μέντοιγε οὐ διὰ παντὸς τὸ ἴσον ἐκλείπει τῆς σελήνης. Ὅταν γὰρ διὰ μέσου τοῦ ἐκλειπτικοῦ ἡ σελήνη τὴν πάροδον ποιεῖται, ὅλη ἐμπίπτει εἰς τὸ σκίασμα τῆς γῆς, ὥστε ἀναγκαῖον, καὶ ὅλην αὐτὴν ἐκλείπειν. Ὅταν δὲ παραψαύῃ τοῦ σκιάσματος, μέρος τι τῆς σελήνης ἐκλείπει. Ἔστι δὲ τὸ ἐκλειπτικὸν αὐτῆς μοιρῶν δύο. Ἐν γὰρ τούτῳ τῷ τόπῳ πάσας τὰς ἐκλείψεις συμβαίνει τῆς σελήνης γίνεσθαι. Ἐκ δὲ τούτων φανερὸν, ὅτι αἱ τῆς σελήνης ἐκλείψεις γίνονται κατὰ τὴν εἰς τὸ σκίασμα τῆς γῆς ἔμπτωσιν. Πρὸς λόγον γὰρ τῆς κατὰ πλάτος κινήσεως τῆς ἡμερησίου τῆς σελήνης τὰ μεγέθη τῶν ἐκλείψεων σύμφωνα γίνεται, καὶ ἐν ἄλλαις ἡμέραις οὐ γίνονται αἱ τῆς σελήνης ἐκλείψεις, πλὴν ἐν τῇ διχομηνίᾳ.



ΟΤΙ

loca habitationum diversæ efficiuntur. Quamob caussam etiam magnitudines eclipsium Solarium diversæ redduntur. At Lunæ incidentiæ in umbram, fiunt omnes æquales eadem eclipsi. Iam verò non semper æqualis pars Lunæ deficit. Cum enim per medium circulum ecliptticum Luna transitum facit, tota incidit in umbram terræ. Itaque necessarium est, ut ipsa tota deficiat. Cum verò attingit umbram, pars aliqua Lunæ deficit. Pars autem circuli, quæ Lunam deficere facit, est duorum graduum. In hoc enim loco omnes eclipses Lunæ contingit fieri. Ex his manifestum est, quod Lunæ eclipses fiant secundũ incidentiam in umbram terræ. Nam ratione diurni motus Lunæ secundum latitudinem fiunt congruæ eclipsium magnitudines, & in alijs diebus non fiunt Lunares eclipses, nisi in plenilunio.



QVOD

ὍΤΙ ΤῊΝ ἘΝΑΝΤΊΑΝ τῷ κόσμῳ κίνησιν οἱ πλάνητες ποιοῦνται.

Ὁ κόσμος κινεῖται φορὰν ἐγκύκλιον ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. Ὅσοι γὰρ ἂν τῶν ἀστέρων μετὰ τὴν τοῦ ἡλίου δύσιν πρὸς τῇ ἀνατολῇ θεωρηθῶσι, προβαινούσης τῆς νυκτὸς, μετεωριζόμενοι μᾶλλον ἀεὶ καὶ μᾶλλον θεωροῦνται. εἶτα βλέπονται πρὸς τῇ μεσουρανήσει. προβαινούσης δὲ τῆς νυκτὸς, ἀποκλινόμενοι πρὸς τὴν δύσιν οἱ αὐτοὶ ἀστέρες θεωροῦνται, καὶ πέρας δύνοντες ὁρῶνται. Καὶ τοῦτο καθ' ἑκάστην ἡμέραν ἐπὶ πάντων ἀστέρων γίνεται. ὥστε φανερὸν, ὅτι ὅλος ὁ κόσμος πᾶσι τοῖς ἐφ' ἑαυτοῦ μέρεσι κινεῖται καὶ ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. Ὅτι δὲ ἐγκύκλιον ποιεῖται τὴν φορὰν, πρόδηλον ἐκ τοῦ πάντας τοὺς ἀστέρας ἐκ τοῦ αὐτοῦ τόπου ἀνατέλλειν, καὶ εἰς τὸν αὐτὸν τόπον δύνειν. Ἔτι δὲ καὶ διὰ τῶν διόπτρων θεωρούμενοι πάντες οἱ ἀστέρες φαίνονται ἐγκύκλιον ποιούμενοι τὴν κίνησιν ἐν ὅλῃ τῇ περιαγωγῇ τῶν διόπτρων.

Ὁ μέντοι γε ἥλιος ἀπὸ δύσεως ἐπὶ τὴν ἀνατολὴν φέρεται ὑπεναντίως τῷ κόσμῳ. Τοῦτο δέ ἐστι φανερὸν ἐκ τῶν προανατελλόντων ἀστέρων τοῦ ἡλίου. Ὅσοι γὰρ ἂν πρὸ τῆς τοῦ ἡλίου

QVOD CONTRARIUM mundo motum Planetæ faciant.

MVndus movetur motu circulari ab ortu ad occaſum. Nam quæcunque Stellæ poſt Solis occaſum ad ortū conſpiciuntur, hæ procedente nocte, magis magisque ſemper elevari ſpectantur. Deinde videntur in medio cœli. Progrediente autem nocte declinare ad occaſum eædem ſtellæ videntur, & tandem occidere ſpectantur. Atque hoc quotidie in omnibus fit ſtellis. Itaque manifeſtum eſt, quod totus mundus cum omnibus ſuis partibus moveatur, & quidem ab ortu verſus occaſum. Quod verò circularem faciat motum, ex eo manifeſtum eſt, quod omnes ſtellæ ex eodem loco oriantur, & in eundem locum occidant. Præterea etiam per Dioptra omnes ſtellæ ſpectatæ videntur circularem motum facere in tota circumductione Dioptrorum.

At Sol ab occaſu verſus ortum fertur motu contrario mundo. Hoc manifeſtum eſt ex ſtellis, quæ ante Solem oriuntur. Nam quæcunque ſtellæ ante ortum

Solis

ἡλίου ἀνατολῆς θεωρηθῶσιν ἀστέρες προανα-
τεταλκότες τοῦ ἡλίου, ἐν ταῖς ἐχομέναις νυξὶν
ἐνωρότερον προανατεταλκότες θεωροῦνται.
Καὶ τοῦτο γίνεται κατὰ τὸ ἑξῆς ἐπὶ πασῶν τῶν
νυκτῶν. Ἐξ οὗ φανερὸν, ὅτι εἰς τὰ ἑπόμενα
τῶν ζωδίων ὁ ἥλιος μεταβαίνει, ἀπὸ δύ-
σεως ἐπ' ἀνατολὴν κινούμενος ὑπεναντίως
τῷ κόσμῳ. Εἰ δέ γε ἀπὸ τῆς ἀνατολῆς ἐπὶ
τὴν δύσιν ἐφέρετο ὁ ἥλιος, ἀεὶ τοὺς προανα-
τέλλοντας ἀστέρας ἀθεωρήτους ἂν εἶναι συν-
έβαινεν. εἰς γὰρ τὰ προηγούμενα μεταβαί-
νων μέρη ὤφειλεν ἀποκρύπτειν αὐτοὺς ταῖς
ἰδίαις αὐγαῖς. Ἀεὶ γὰρ κατὰ τὸν ἥλιον γι-
νόμενοι ἀστέρες, ἀθεώρητοι ὑπάρχουσι, κα-
ταυγούμενοι ὑπὸ τοῦ ἡλίου. Νῦν δὲ οὐ γίνεται
τοῦτο, ἀλλ' οἱ προανατέλλοντες ἀστέρες, ἐν ταῖς
ἐχομέναις νυξὶ πλεῖον ἀεὶ καὶ πλεῖον ἀπὸ τῆς
ἀνατολῆς ἀπέχοντες διάστημα θεωροῦνται:
ὥστε μηνιαίῳ χρόνῳ ζώδιον ὅλον προανατέλ-
λειν τοῦ ἡλίου, τὸ πρότερον ὑπάρχον ἐν ταῖς
αὐγαῖς τῶν ἡλίου. Ἀεὶ γὰρ τὸ μὲν ἑπόμενον
ζώδιον ὑπὸ τοῦ ἡλίου ἀθεώρητόν ἐστι διὰ τὰς
αὐγὰς τοῦ ἡλίου: τὸ δὲ προηγούμενον ἑαυτοῦ
θεωρεῖται. Ἐν δὲ τῷ μηνιαίῳ χρόνῳ ἀεὶ τὸ
μὲν ἑπόμενον ζώδιον ἀθεώρητον γίνεται,
μεταβαίνοντος εἰς αὐτὸ τοῦ ἡλίου, τὸ δὲ προη-
γούμενον

Solis spectatæ fuerint oriri ante Solem, hæ sequentibus noctibus tempestiviùs conspiciuntur oriri ante Solem: atque hoc fit continuò in omnibus noctibus. Vnde manifestum est, quod in consequẽtia signa Sol procedat, cum ab occasu versus ortum moveatur contra mundi motum. Si verò ab ortu versus occasum ferretur Sol, semper contingeret eas stellas, quæ prius orirentur, invisibiles esse. Nam in antecedentia transiens signa debebat eas suis radijs obscurare. Stellæ enim, cum apud Solem fuerint, sunt invisibiles, à Sole obscuratæ. At nunc hoc non fit, sed stellæ, quæ prius oriuntur, sequentibus noctibus semper magis, magisque ab ortu distantiam habere spectantur, ita ùt mẽstruo tempore totum signum constellationis ante Solem oriatur, quod priùs fuit in radijs Solis. Semper enim illud signum, quod Solem sequitur, à Sole fit invisibile, propter rádios Solis: illud verò, quod præcedit Solem, conspicitur. In menstruo autem tempore signum sequens semper est invisibile, cum Sol ad id transeat: præce-

γούμενον ζώδιον δύο ζωδίων διάστημα ἀφεστηκὸς, βλέπεται. καὶ τοῦτο ἐπὶ τῶν ιβ ζωδίων διὰ παντὸς γίνεται. Ἐξ ὧν φανερὸν, ὅτι ὁ ἥλιος ὑπεναντίως τῷ κόσμῳ κινούμενος, εἰς τὰ ἑπόμενα τῶν ζωδίων, καὶ οὐκ εἰς τὰ προηγούμενα ποιεῖται τὴν μετάβασιν.

Ἐκδηλότερον δὲ ἐπὶ τῆς σελήνης θεωρεῖται ἡ κίνησις. καὶ γὰρ αὐτὴ ὑπεναντίως τῷ κόσμῳ θεωρεῖται ἀπὸ δύσεως ἐπ᾽ ἀνατολὴν κινουμένη. Τοῦτο δὲ ἐν μιᾷ νυκτὶ δύναται καταλαμβάνεσθαι διὰ τῆς ὁράσεως, ὥστε μαρτυροῦντος τοῦ φαινομένου. Ὅταν γὰρ παρά τινα τῶν ἀπλανῶν ἀστέρων θεωρηθῇ ἡ σελήνη, προβαινούσης τῆς νυκτὸς, ἀφίσταται ἀπὸ τοῦ παρατετηρημένου ἀστέρος πρὸς ἀνατολὴν, καὶ ~~ὁ ἀστὴρ ἀπὸ τῆς σελήνης πρὸς~~ δύσιν: καὶ πολλάκις ἐν ὅλῃ τῇ νυκτὶ ἡ σελήνη μοίρας ἀπὸ τοῦ παρατετηρημένου ἀστέρος δίισταται πρὸς ἀνατολήν: ὥστε ἐν μιᾷ νυκτὶ θεωρεῖσθαι τὴν ὑπεναντίαν κίνησιν τῷ κόσμῳ. οὐ γὰρ εἰς τοὺς προηγουμένους ἀστέρας προβαίνει, ἀλλ᾽ εἰς τοὺς ἑπομένους.

Λέγουσι δέ τινες, εἰς μὲν τὰ ἑπόμενα ζώδια τὴν μετάβασιν γίνεσθαι τῷ ἡλίῳ, καὶ τῇ σελήνῃ: μὴ μέντοιγε ὑπεναντίως αὐτοὺς κινεῖσθαι τῷ κόσμῳ, ἀλλὰ διὰ τὰ μεγέθη

ὑπο-

dens verò signum, cum distat duorum signorum spacio, conspicitur. Atque hoc in duodecim signis semper fit. E quibus manifestum est, quod Sol, cum contra mundi motum feratur, in consequentia, & non in antecedentia signa transitum faciat.

Manifestius autem in Luna conspicitur motus. Nam & ipsa contra motum mundi ab occasu versus ortum videtur moveri. Hoc autem in una nocte potest deprehendi per visionem, cum apparentia testimonium præbeat. Cum enim apud aliquam stellarum fixarum conspecta fuerit Luna, nocte procedente, distat ab illa observata stella ad ortum, & stella illa à Luna ad occasum. Et sæpe in tota nocte Luna gradu ab illa observata stella distat ad ortum, ita ut in una nocte spectetur motus contrarius mundo. Non enim ad antecedentes stellas procedit, sed ad consequentes.

Opinio quorundam de motu Solis, & Lunæ.

Dicunt autem quidam, Solem quidem ad consequentia signa transitum facere, & Lunam similiter, verumtamen eos non moveri contra mundum, sed propter magnitudines supe-

 rari

ὑπολείπεσθαι αὐτοὺς τῆς τῶν ἀπλανῶν ἀ-
στέρων σφαίρας: δοκεῖν δὲ ἡμῖν εἰς τὰ ἑπόμε-
να τῶν ζωδίων τὴν μετάβασιν γίνεσθαι κατὰ
τὴν ἐναντίαν κίνησιν: τοῦτο δὲ μὴ εἶναι ἀλη-
θὲς ἀλλὰ φέρεσθαι μὲν ἥλιον, καὶ σελήνην
ἀπ' ἀνατολῆς ἐπὶ δύσιν, καταταχουμένους δὲ
ὑπὸ τοῦ κόσμου, πρὸ τοῦ κύκλον περιδραμεῖν,
ἐν τοῖς ἑπομένοις ζωδίοις θεωρεῖσθαι. Χρῶν-
ται δέ τινι καὶ τῷ. ὁμοιώματι τούτῳ. Εἰ
γάρ τις, φασὶν, ὑποστήσαιτο δρομεῖς ιβ΄ ἰσοτα-
χεῖ χρωμένους, καὶ ποιουμένους ἐπὶ κύκλου
τὴν κίνησιν, εἶτα μέντοιγε ἄλλον τινὰ ἕνα
βραδύτερον ἐν αὐτοῖς κινούμενον, ὁμοίαν
δὲ τὴν κίνησιν αὐτοῖς ποιούμενον ἐπὶ κύκλου:
δόξει μὲν παρακαταλαμβανόμενος, εἰς τὰ
ἑπόμενα μεταβαίνειν, οὐκ ἔσται δὲ τοῦτο ἐπὶ
τῆς ἀληθείας, ἀλλ' ὁμοίως αὐτοῖς κινούμε-
νος, διὰ τὴν βραδυτῆτα δόξει εἰς τἀναντία κι-
νεῖσθαι. Τοῦτο δὴ καὶ ἐπὶ τοῦ ἡλίου, καὶ ἐπὶ τῆς
σελήνης συμβεβηκέναι. Ἐπὶ γὰρ τὰ αὐτὰ
μέρη κινούμενοι τῷ κόσμῳ, διὰ τὴν βραδυτῆτα
εἰς τὰ ἑπόμενα ὑποφέρονται: καθάπερ τὰ
ἐπὶ τῶν ποταμῶν καταφερόμενα πλοῖα
προκαταταχούμενα ὑπὸ τοῦ ῥεύματος, δο-
κεῖ εἰς τὰ ὀπίσω κινεῖσθαι. Τοῦτο δὲ φασὶ καὶ
ἐπὶ τοῦ ἡλίου, καὶ ἐπὶ τῆς σελήνης συμβαίνειν

Αὐτ

rari eos à sphæra stellarum inerrantium, videri autem nobis in consequentia signa transitum illum fieri iuxta motum contrarium: sed hoc non esse verum, & ferri Solem, & Lunam ab ortu versus occasum, sed cum superentur à Mundo, antequam circulum peragrent, in consequentibus signis spectari. Vtuntur autem quidam & hac similitudine. Si enim aliquis (inquiunt) constitueret cursores duodecim eadem celeritate utentes, & facientes in circulo motum, deinde verò alium quẽdam inter ipsos tardius se moventem, & tamen ijs similem motum in circulo faciẽtem: videbitur quidẽ is, cum circumfertur, in cõsequentia transire, verum in rei veritate hoc non erit, sed cum similiter ipsis moveatur, tamen propter tarditatem videbitur in contraria moveri. Atque hoc idem & in Sole, & in Luna contingere. Cum enim versus easdem partes cum mundo moveantur, propter tarditatem in consequentia inferius feruntur. Quemadmodum navigia, quæ in fluvijs deferuntur, cum à fluxu superantur, videntur retro ferri. Hoc autem inquiunt & in Sole, & in Luna contingere.

Αὕτη δὲ ἡ δόξα τῶν πολλῶν φιλοσόφων εἰρημένη ἀσύμφωνός ἐστι τοῖς φαινομένοις. Εἰ γὰρ καθ' ὑπόλειψιν ἐκινοῦντο, ὑποφερομένων τῶν σωμάτων, διὰ τὰ μεγέθη, ἔδει κατὰ παραλλήλους κύκλους τὴν ὑπόλειψιν γίνεσθαι, καθάπερ καὶ οἱ ἀπλανεῖς ἀστέρες πάντες ἐπὶ παραλλήλων κύκλων φέρονται, διὰ τὸ καὶ τὴν τοῦ κόσμου φορὰν ἐγκύκλιον εἶναι ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. Νυνὶ δὲ οὐχ ὑπολείπονται κατὰ παραλλήλους κύκλους: ἀλλ' ὁ μὲν ἥλιος ἐπὶ τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου κινούμενος, ἅμα καὶ τὴν κατὰ πλάτος πάροδον ποιεῖται ἀπὸ τροπῶν ἐπὶ τροπάς, ὡς ἄν, οἶμαι, ἰδίας ὑπαρχούσης αὐτῷ τῆς κινήσεως, τῆς μὲν ἀπ' ἀνατολῆς ἐπὶ δύσιν, τῆς δὲ ἀπὸ δύσεως ἐπ' ἀνατολήν: ἡ δὲ σελήνη ἐν ὅλῳ τῷ πλάτει τοῦ ζῳδιακοῦ κύκλου τὴν πάροδον ποιεῖται: οὐδὲν δὲ τῶν καθ' ὑπόλειψιν ὑποφερομένων ἅμα δύναται κατὰ πλάτος κινεῖσθαι, ἀλλ' ὀφείλει κατὰ τὴν τοῦ κόσμου φορὰν τὴν ὑπόλειψιν ποιεῖσθαι. Ἐλέγχει δὲ τὴν δόξαν ψευδῆ ὑπάρχουσαν μάλιστα πάντων ἡ περὶ τοὺς πέντε πλανήτας ἀστέρας κίνησις. Ἐκεῖνοι γὰρ ὅτε μὲν ὑπολείπονται τῶν ἀπλανῶν ἀστέρων, ὅτε δὲ προηγοῦνται, ὅτε δὲ κατὰ τοὺς αὐτοὺς ἀστέρας μένουσιν, οἱ δὲ καὶ καλοῦνται στηριγμοί. Τοιαύ-

τοῦ ∧

At hæc opinio, etsi à multis Philosophis est dicta, tamen non congruit cum apparentijs. Si enim iuxta huiusmodi relictionem moverentur, cum corpora illa inferius moveantur propter magnitudines: oportebat in parallelis circulis hanc relictionem fieri, quemadmodum & stellæ inerrantes omnes in parallelis circulis feruntur, eo quod & mundi motus est circularis ab ortu versus occasum. At nunc non relinquuntur in parallelis circulis, sed Sol cum in circulo per media signa transeunte moveatur, simul etiam secundum latitudinem facit motum à conversionibus ad conversiones, ita ut mea opinione proprius ei sit motus hic ab ortu versus occasum, ille ab occasu versus ortum. Luna verò in tota latitudine Zodiaci circuli motum facit. Nihil verò eorum, quæ secundum relictionem obscurè feruntur, simul potest secundum latitudinem moveri, sed debet secundum mundi motum relictionem illam facere. Convincit autem hanc opinionem, quod falsa sit, maximè omnium motus quinque Planetarum. Illi enim interdum relinquuntur ab inerrantibus stellis, interdum præcedunt eas, interdum apud easdem stellas manent: quæ etiam stationes vocantur.

Refutatur opinio.

Τοιαύτης δὲ ὑπαρχούσης περὶ αὐτοὺς τῆς κινήσεως, φανερὸν ὅτι ἡ ἐπὶ τὰ ἑπόμενα μετάβασις οὐ γίνεται κατὰ ὑπόλειψιν. Διὰ παντὸς γὰρ ἂν ὑπελείποιντο. νυνὶ δὲ ἰδία τίς ἐστιν ἡ περὶ ἕκαστον σφαιροποιΐα, καθ' ἣν ποτὲ μὲν εἰς τὰ ἑπόμενα μεταβαίνουσι, ποτὲ δὲ εἰς τὰ προηγούμενα, ποτὲ δὲ στηρίζουσιν. Οὕτως δὴ καὶ περὶ τὸν ἥλιον, καὶ περὶ τὴν σελήνην ἰδία τίς ἐστι καὶ προαιρετικὴ, καὶ κατὰ φύσιν, ἡ κατὰ πλάτος κίνησις, καθ' ἣν ἀπὸ δύσεως ἐπ' ἀνατολὴν κινούμενοι τὴν κατὰ πλάτος πάροδον ποιοῦνται. Ὅτι δὲ οὐ δύνανται καθ' ὑπόλειψιν εἰς τὰ ἑπόμενα τῶν ζωδίων τὴν μετάβασιν ποιεῖσθαι, φανερὸν καὶ ἐκ τοῦ μὴ ἀνάλογον τοῖς μεγέθεσι, μηδὲ τοῖς ἀποστήμασι τὰς μεταβάσεις γίνεσθαι. Εἰ γὰρ διὰ τὰ μεγέθη τῶν σωμάτων ὑπεφέροντο, βραδυτέραν ἔχοντες τῶν ἀπλανῶν ἀστέρων κίνησιν, ἔδει ἀνάλογον τοῖς μεγέθεσι, καὶ τοῖς ἀποστήμασι τὰς ὑπολείψεις γίνεσθαι: μὴ γινομένου δὲ τούτου, ἀνάγκη λέγειν κατὰ φύσιν εἶναι τοῖς πλανωμένοις ἀστέρσι τὴν ὑπεναντίαν κίνησιν. ἤδη μέντοι διὰ τὴν ἰδίαν ἑκάστου σφαιροποιΐαν διαφόρους συμβέβηκε τὰς μεταβάσεις γίνεσθαι.

Talis cum motus sit Planetarum, manifestum est, quod transitus in consequentia non fiat secundum relictionem. Semper enim quasi â tergo relinquerentur. At nunc cuiusque est propria quædam sphæra, secundum, quam nunc in consequentia tendunt, nunc in antecedentia, nunc verò sunt stationales. Sic igitur & Solis, & Lunæ proprius est aliquis, & electivus, & naturalis secundum latitudinem motus, secundum quem cum ab occasu versus ortum moventur, simul illum latitudinis motum faciunt. Quod verò non possint secundum Relictionem in Consequentia signa progressum facere, etiam hinc est manifestum, quod non congruenter cum magnitudinibus, neque cum distantijs hi progressus fiant. Si enim propter magnitudines corporum inferiùs moverentur, cum habeant tardiorem motum, quâm stellæ inerrantes, oportébat congruenter cum magnitudinibus, & cum distantijs relictiones fieri. Hoc cum non fiat, necesse est dicere, secundum naturam esse errantibus stellis contrarium illum motum. Iam certè propter propriam cuiusque sphæram contingit diversos fieri progressus.

ΠΕΡΙ' ἈΝΑΤΟΛΩ͂Ν, ΚΑΙ' δυσμῶν.

Ὁ κόσμος κινούμενος ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν, ἡμέρᾳ καὶ νυκτὶ ἀποκαθίσταται ἀπ' ἀνατολῆς ἐπ' ἀνατολήν· ἐν δὲ τῇ τοῦ κόσμου περιστροφῇ πάντες οἱ ἀστέρες καθ' ἑκάστην ἡμέραν καὶ ἀνατέλλουσι, καὶ δύνουσι. Καὶ ἔστιν ἀνατολὴ μὲν ἡ ὑπὲρ τὸν ὁρίζοντα φανέρωσις, δύσις δὲ ἡ καθ' ἑκάστην ἡμέραν γινομένη ὑπὸ τὸν ὁρίζοντα κρύψις. Ἄλλως δὲ λέγονται ἐπιτολαὶ καὶ κρύψεις, ἃς ἔνιοι ἀγνοοῦντες κατὰ τὴν αὐτὴν ἔννοιαν ὑπολαμβάνουσι λέγεσθαι. Μεγάλη δὲ ἐστὶ διαφορὰ ἀνατολῆς καὶ ἐπιτολῆς. Ἀνατολὴ μὲν γὰρ ἐστὶν ἡ προειρημένη, ἐπιτολὴ δὲ ἡ γινομένη πρὸς τὸν ὁρίζοντα φάσις μετὰ τῆς πρὸς τὸν ἥλιον ἀποστάσεως ἀπολαμβανομένη. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῆς δύσεως, καὶ ἐπὶ τῆς κρύψεως. Ἄλλως μὲν γὰρ λέγεται δύσις, ἡ καθ' ἑκάστην ἡμέραν γινομένη ὑπὸ τὸν ὁρίζοντα κρύψις· ἄλλως δὲ ἡ γινομένη κρύψις πρὸς τὸν ὁρίζοντα ἅμα καὶ τὸν ἥλιον.

Εἰσὶ δὲ περὶ ἕκαστον τῶν ἀστέρων ἐπιτολαὶ δύο· αἱ μὲν γὰρ αὐτῶν λέγονται ἑωθιναί, αἱ δὲ ἑσπέριαι. Καὶ ἔστιν ἑῴα μὲν ἐπιτολή, ὅταν ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι συνανα-

DE ORTIBVS ET Occasibus.

MVndus cum movetur ab ortu versus occasum, die & nocte restituitur ab ortu versus ortum: in conversione autem mundi omnes stellæ quotidie & oriuntur, & occidunt. Et ortus quidem est apparitio supra horizontem, Occasus verò est occultatio, quæ quotidie fit infra horizontem. Aliter autem dicuntur ἐπιτολή, καὶ κρύψις, id est, Apparitio, & occultatio, quæ nonnulli ex ignorantia secundum eundem sensum putant dici. Est autem magna differentia inter Ἀνατολήν, & ἐπιτολήν. Ἀνατολή est ortus ille, de quo iam dictum est. At ἐπιτολή est illa ad horizontem apparitio, quæ desumitur cum distantia à Sole. Eadem differentia est inter δύσιν, id est occasum, & κρύψιν, id est occultationem. Aliter enim dicitur δύσις occasus, qui est quotidiana infra horizontem facta occultatio: aliter verò κρύψις, id est, occultatio, quæ fit simul & ad horizontem, & ad Solem.

Differunt ἀνατολή, & ἐπιτολή: Item differunt δύσις, & κρύψις.

Ortus & occasus stellarũ respiciũt tantum horizontem.

Apparitio, & Occultatio respiciũt & horizontem, & Solem simul.

Sunt autem cuiusque stellæ ortus duo, Alij enim dicuntur matutini, Alij vespertini. Matutinus ortus est, cum simul cum Sole oriente, stella aliqua

Ortus stellarum ma-

ἀνατέλλῃ τὶς ἀστὴρ, κατὰ τὸν αὐτὸν χρόνον γι-
νόμενος ὑπὲρ τοῦ ὁρίζοντος. Ἑσπερία δ' ἐστὶν
ἐπιτολὴ, ὅταν, τοῦ ἡλίου δύνοντος, ἐπιτέλλῃ
τὶς ἀστὴρ, ἅμα κατὰ τὸν ὁρίζοντα γινόμενος.

Τῶν δὲ ἑώων, καὶ τῶν ἑσπερίων ἐπιτολῶν
διαφοραί εἰσι δύο. Αἱ μὲν γὰρ αὐτῶν ἀλη-
θιναὶ λέγονται, αἱ δὲ φαινόμεναι: ἀληθιναὶ
μὲν, ὅταν ἅμα κατ' ἀλήθειαν ἐπὶ τοῦ ὁρίζον-
τος γινόμενος, ἀνατέλλοντος τοῦ ἡλίου,
συνανατέλλῃ τὶς ἀστήρ. Αὕτη δὲ ἡ ἐπιτολὴ
ἀθεώρητος γίνεται διὰ τὰς αὐγὰς τοῦ ἡλίου.
Ἐν δὲ ταῖς ἐχομέναις ἡμέραις ὁ μὲν ἥλιος
ὑπεναντίως κινούμενος εἰς τὰ ἑπόμενα με-
ταβαίνει, ὁ δὲ ἀστὴρ τοσοῦτον προανατέλλει τοῦ
ἡλίου, ὁπόσον ὁ ἥλιος εἰς τὰ ἑπόμενα μετα-
βῇ ἐν τῷ ἡμερησίῳ χρόνῳ. οὔπω μέντοι δύνα-
ται θεωρηθῆναι ἡ τοῦ ἀστέρος ἐπιτολή: ἔτι δὲ
καταυγεῖται ὑπὸ τοῦ ἡλίου. Πάλιν δὲ ἐν μὲν
τῇ ἐχομένῃ ἡμέρᾳ ὁ μὲν ἥλιος εἰς τὰ ἑπόμε-
να μετέβη, ὁ δὲ ἀστὴρ τοσοῦτον προανατέλλει
τοῦ ἡλίου, ὅσον ὁ ἥλιος ἐν ταῖς δυσὶν ἡμέραις
μετεκινήθη. Ἐν δὲ ταῖς ἐχομέναις ἡμέραις
ἀεὶ τοῦ ἀστέρος ἐνωρότερον μᾶλλον καὶ ἐνωρό-
τερον προανατέλλοντος, ὅταν τοσοῦτον προ-
ανατέλλῃ, ὥστε θεωρηθῆναι τὴν τοῦ ἀστέρος ἐπι-
τολὴν, ἐκπεφευγότος αὐτοῦ τὰς αὐγὰς τοῦ
ἡλίου,

qua oritur, idque eodem tempore in horizonte. Vespertinus ortus est, cum, Sole occidente, oritur stella aliqua simul in horizonte constituta.

tutinus.

Ortus stellarum vespertinus.

Matutinorum, & vespertinorum ortuum duæ sunt differentiæ. Alij enim eorum veri dicuntur, alij apparentes. Veri, cum simul revera stella aliqua in horizonte constituta oritur, Sole oriente. Atque hic ortus est invisibilis propter radios Solis. In diebus autem proximè sequentibus Sol cum contra mundi motum moveatur, transit in consequentia, stella verò tantum oritur ante Solem, quantum Sol in consequentia ttansierit in diurno tempore. Nondum tamen potest spectari ortus astri. Adhuc enim à Sole obscuratur. Rursus verò in die proximè sequenti Sol in consequentia transijt, Stella verò tantum oritur ante Solem, quantum Sol in duobus diebus progressus fuit. In diebus deinde continuò sequentibus stella semper magis magisque tempestivè ante Solem oriens, cum tantum præorta fuerit, ut astri ortus spectetur, cum ipsum radios Solis effu-

ἡλίου, τότε λέγεται ὁ ἀστὴρ οὗτος ἑῴαν φαινομένην ἐπιτολὴν πεποιῆσθαι. Δι' ἣν αἰτίαν καὶ ἐν τοῖς ψηφίσμασιν αἱ φαινόμεναι τῶν ἄστρων ἐπιτολαὶ προλέγονται. αἱ μὲν γὰρ ἀληθιναὶ ἀθεώρητοι εἰσὶ, καὶ ἀπαρατήρητοι. αἱ δὲ φαινόμεναι καὶ προλέγονται, καὶ παρατηροῦνται. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἑσπερίων ἐπιτολῶν πάλιν. Καὶ γὰρ τούτων διαφοραί εἰσι δύο. αἱ μὲν γὰρ αὐτῶν ἀληθιναὶ λέγονται, αἱ δὲ φαινόμεναι: ἀληθιναὶ μὲν, ὅταν ἅμα κατ' ἀλήθειαν, τοῦ ἡλίου δύνοντος, ἐπιτείλῃ τὶς ἀστὴρ, ἅμα γινόμενος ἐπὶ τοῦ ὁρίζοντος πρὸς τὴν κατὰ τὸν λόγον ἀκρίβειαν. Καὶ αὗται δὲ αἱ ἐπιτολαὶ ἀθεώρητοι γίνονται διὰ τὰς αὐγὰς τοῦ ἡλίου. Ἐν δὲ ταῖς ἑξῆς ἡμέραις διὰ τὴν τοῦ ἡλίου μετάβασιν, συναιρουμένου τοῦ πρὸς τὸν ἀστέρα διαστήματος, προανατέλλει μὲν πρὸ τῆς τοῦ ἡλίου δύσεως, ἔτι δὲ ὑπὸ τοῦ ἡλίου καταυγούμενος ἀθεώρητός ἐστιν. Ὅταν δὲ μετὰ τὴν τοῦ ἡλίου δύσιν πρῶτος ἐκπεφευγὼς τὰς αὐγὰς τοῦ ἡλίου θεωρηθῇ, τότε λέγεται φαινομένην ἑσπερίαν ἐπιτολὴν πεποιῆσθαι. Ἐν δὲ ταῖς ἐχομέναις νυξὶ μετεωρότερος ἀεὶ μᾶλλον καὶ μᾶλλον φαίνεται.

νύκτεσι

Ὁμοίως δὲ καὶ τῶν δύσεων διαφοραὶ λέγον-

effugerit, tunc dicitur stella hæc matutinum apparentem ortum facere. Quam ob caussam etiã in Decretis apparẽtes astrorũ ortus prædicuntur. Nã veri ortus sunt invisibiles, atque inobservabiles. At apparentes ortus & prædicuntur, & observantur. Eadem rursus etiam est ratio in vespertinis ortibus. Etenim & horum duæ sunt differentiæ. Horum enim alij dicuntur Veri, alij apparentes. Veri quidem, cum simul verè, secundum præcisionem rationis, stella aliqua in horizonte constituta oritur, Sole occidente. Atque hi ortus sunt invisibiles propter radios Solis. In diebus verò sequentibus, cum propter Solis progressum distantia eius à stella minuatur, stella quidem oritur ante Solis occasum, adhuc tamen à Sole obscurata invisibilis est. Cum verò post Solis occasum primum conspecta fuerit effugisse radios Solis, tunc dicitur apparentem vespertinum ortum facere. In sequentibus verò noctibus semper magis magisque sublimis apparet.

Similiter etiam occasuum duæ dicuntur

λέγονται δύο. αἱ μὲν γὰρ αὐτῶν ἑῷαί εἰσιν, αἱ δὲ ἑσπέριαι. ἑῷαι μὲν οὖν λέγονται δύσεις, ὅταν τοῦ ἡλίου ἀνατέλλοντος δύνῃ τὶς ἀστήρ. Ἑσπερία δὲ δύσις λέγεται, ὅταν τοῦ ἡλίου δύνοντος συγκαταφέρηταί τις ἀστὴρ ἅμα γινόμενος ὑπὸ τὸν ὁρίζοντα. Εἰσὶ δὲ τῶν ἑῴων δύσεων διαφοραὶ δύο. αἱ μὲν γὰρ εἰσιν ἀληθιναὶ αἱ δὲ φαινόμεναι: ἀληθιναὶ μὲν, ὅταν ἐπὶ τοῦ ὁρίζοντος γένωνται, ὅτε ἥλιος, καὶ ὁ ἀστὴρ, ὁ μὲν ἥλιος ἀνατέλλων, ὁ δὲ ἀστὴρ δύνων. αὗται δὲ αἱ δύσεις ἀθεώρητοι γίνονται διὰ τὰς αὐγὰς τοῦ ἡλίου. Φαινομένη δέ ἐστιν ἑῴα δύσις, ὅταν πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς, τὸ ἔσχατον δύνων ὁ ἀστὴρ θεωρηθῇ. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἑσπερίων δύσεων αἱ διαφοραί εἰσι δύο. Αἱ μὲν γὰρ αὐτῶν εἰσὶν ἀληθιναὶ, αἱ δὲ φαινόμεναι: ἀληθιναὶ μὲν, ὅταν ἀπαραλλάκτως ἐπὶ τοῦ ὁρίζοντος γένηται ὅτε ἥλιος, καὶ ὁ ἀστὴρ ἀμφότεροι δύνοντες, ἀθεώρητοι δὲ καὶ αὗται αἱ δύσεις γίνονται διὰ τὰς αὐγὰς τοῦ ἡλίου. Φαινόμεναι δέ εἰσιν ἑσπέριαι δύσεις, ὅταν μετὰ τὴν τοῦ ἡλίου δύσιν, ἐπικαταδύνῃ τὶς ἀστὴρ ὑπὸ ἡλίῳ, θεωρούμενος ὑφ' ἡμῶν. Τῶν μὲν οὖν ἑῴων ἐπιτολῶν καὶ δύσεων πρότερον γίνονται αἱ ἀληθιναὶ, ὕστερον δὲ αἱ φαινόμεναι. Τῶν δὲ ἑσπερίων ἐπιτο-

tuntur differentiæ. Horum enim alij sunt matutini, alij vespertini. Matutini occasus dicuntur, cum Sole oriente occidit stella aliqua. Dicitur vespertinus occasus, cum Sole occidente simul aliqua stella defertur infra horizontem. Sunt autem matutinorum occasuum differentiæ duæ. Alij enim sunt veri, alij apparentes. Veri quidem, cum simul in horizonte constituti fuerint & Sol, & stella: Sol quidem oriens, stella verò occidens. Hi autem occasus invisibiles sunt propter radios Solis. Apparens verò matutinus occasus est, cum ante Solis ortum postremò stella spectatur occidere. Similiter etiam in vespertinis occasibus duæ sunt differentiæ. Alij enim eorum sunt veri, alij apparentes. Veri quidem, cum sine aberratione visus in horizonte constituti fuerint, & Sol, & stella, ambo occidentes. Invisibiles sunt & hi occasus propter radios Solis. Apparentes autem occasus vespertini sunt, cum post Solis occasum insuper occidit aliqua stella conspecta à nobis. Ex matutinis igitur ortibus, & occasibus, ij qui sunt veri, priùs fiunt, qui apparētes, posteriùs. Ex vespertinis verò

ἐπιτολῶντε, καὶ δύσεων πρότερον γίνονται
αἱ φαινόμεναι, ὕστερον δὲ αἱ ἀληθιναί, ἑῷα
μὲν ἐπιβολὴ ἀπὸ ἑῴας, καὶ ἑσπερία ἐπιβολὴ
ἀπὸ ἑσπερίας ἐπιβολῆς, καὶ καθόλου πᾶν τὸ
ὅμοιον εἶδος ἀπὸ τοῦ ὁμοίου εἴδους πᾶσι τοῖς ἀ-
στροις δι' ἐνιαυτοῦ γίνεται. Ὁ γὰρ ἥλιος ἐν-
αυτῷ διελθὼν τὸν ζῳδιακὸν κύκλον, πά-
λιν κατὰ τοὺς αὐτοὺς ἀστέρας γίνεται.

Ἑῴα δὲ ἐπιβολὴ ἀπὸ ἑσπερίας ἐπιτολῆς
τοῖς μὲν ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου κειμένοις ἄ-
στροις δι' ἑξαμήνου γίνεται, καὶ ἑῴα δύσις ἀπὸ
ἑσπερίας δύσεως. Τοῖς δὲ Βορειοτέροις τοῦ ζῳ-
διακοῦ κύκλου κειμένοις ἄστροις ἑῴα μὲν ἐπι-
βολὴ ἀπὸ ἑσπερίας ἐπιτολῆς διὰ πλείονος
χρόνου, ἢ ἑξαμηνιαίου γίνεται: τοῖς δὲ πρὸς με-
σημβρίαν κειμένοις τοῦ ζῳδιακοῦ κύκλου ἑῴα
ἐπιτολὴ ἀπὸ ἑσπερίας ἐπιτολῆς δι' ἐλάτ-
τονος, ἢ ἑξαμηνιαίου χρόνου γίνεται. Ὁ δὲ πλεο-
νάζων χρόνος τοῦ ἑξαμήνου οὐκ ἔστι πᾶσι τοῖς
ἄστροις ὡρισμένος, ἀλλ' οἷς μὲν πλείων, οἷς δὲ
ἐλάττων. Τοῖς μὲν γὰρ πρὸς ἄρκτον ἀεὶ μᾶλ-
λον κειμένοις πλείων ἀεὶ καὶ πλείων ὁ χρό-
νος γίνεται διὰ τὸ μείζονα τμήματα ὑπὲρ
γῆν φέρεσθαι τοῖς ἀεὶ μᾶλλον πρὸς ἄρκτον
κειμένοις.

Τοῖς δὲ πρὸς μεσημβρίαν μᾶλλον κειμέ-

ortibus, & occasibus, ij qui sunt apparentes prius fiunt: qui veri, posterius: Matutinus quidem ortus à matutino, & vespertinus ortus à vespertino ortu, & in summa Omnis similis species à simili specie omnibus astris per annum contingit. Sol enim annuo tempore Zodiacum circulum peragrans, rursus ad easdem stellas accedit.

Matutinus ortus apparẽs est à matutino ortu vero, cõtrà, vespertinus ortus verus est à vespertino ortu apparente.

Matutinus ortus à vespertino ortu, ijs astris, quæ in Zodiaco sunt sita, per semestre contingit, item matutinus occasus à vespertino occasu. At ijs astris, quæ extra Zodiacum versus Boream sunt sita, matutinus ortus à vespertino ortu per maius tempus, quàm semestre contingit. Astris verò his, quæ extra Zodiacum versus meridiem posita sunt, matutinus ortus à vespertino ortu per brevius tempus, quam semestre contingit. Tempus verò maius semestri non est omnibus astris definitum, sed alijs longius, alijs brevius. Nam ijs astris, quæ semper magis magisque versus septentrionem sunt sita, semper quoque maius maiusque tempus contingit, eo quod semper maiora segmenta supra terram ferantur ijs, quæ semper magis versus septentrionem sunt posita.

At ijs astris, quæ versus meridiem ma-

νοις, ἀεὶ μᾶλλον ἢ μᾶλλον, ἐλάττων ὁ χρόνος
γίνεται. Ἐλάττονα δὲ τὰ τμήματα ὑπὲρ γῆν
φέρονται οἱ πρὸς μεσημβρίαν ἀστέρες κείμενοι.

Ἀνάπαλιν δὲ τοῖς πρὸς ἄρκτον κει-
μένοις τοῦ ζωδιακοῦ κύκλου ἐλάττων ἐστὶ
χρόνος ἑξαμήνου ὁ ἀπὸ ἑῴας δύσεως μέ-
χρι ἑσπερίας ἐπιτολῆς: τοῖς δὲ πρὸς μεσημ-
βρίαν πλείων ὁ χρόνος ἑξαμήνου ἀπὸ ἑῴας δύ-
σεως μέχρις ἑσπερίας ἐπιτολῆς. Ἡ δὲ παραλ-
λαγὴ τῶν χρόνων ἀκολούθως γίνεται ταῖς
ἀποστάσεσι, ταῖς ἀπὸ τοῦ ζωδιακοῦ κύκλου κα-
τὰ τὴν τῶν τμημάτων παραλλαγὴν τῶν
ὑπὲρ γῆν ἀναλαμβανομένων ὑπὸ τοῦ ὁρί-
ζοντος.

Τοῖς δὲ ἐπὶ τοῦ ζωδιακοῦ κύκλου κειμένοις
ἅμα γίνεται ἑῴα ἐπιτολή, καὶ ἑσπερία δύσις,
καὶ πάλιν ἅμα ἑῴα δύσις, καὶ ἑσπερία ἐπι-
τολή. Τοῖς δὲ λοιποῖς ἄστροις οὐχ ἅμα τὰ
προειρημένα εἴδη ἐπιτελεῖται, ἀλλὰ διαλ-
λάσσει κατὰ τοὺς χρόνους, τῶν ἀστέρων κινου-
μένων ἐγκύκλιον φορὰν ἀπὸ ἀνατολῶν εἰς
δύσιν. Ὅσα μὲν οὖν αὐτῶν ἐπὶ τοῦ ἰσημερινοῦ
κύκλου κεῖται, τὸν ἴσον δρόμον ὑπὲρ γῆν φέ-
ρεται, καὶ ὑπὸ γῆν. Διχοτομεῖται γὰρ ὁ
ἰσημερινὸς κύκλος ὑπὸ τοῦ ὁρίζοντος. Ὅ-
σα δὲ τῶν ἄστρων πρὸς ἄρκτον κεῖται τοῦ
ἰσημε-

gis declinant, semper magis magisque brevius evenit tempus. Stellæ enim versus meridiem positæ feruntur in minoribus segmentis supra terram.

Contrà ijs stellis, quæ extra Zodiacum versus Boream sunt sitæ, tempus illud est minus semestri, quod est à matutino occasu usque ad vespertinum ortum. Iis verò stellis, quæ versus meridiem sunt positæ, maius semestri est tempus illud, quod est à matutino occasu usque ad vespertinum ortum. Varietas autem temporum respondet distantijs stellarum à Zodiaco circulo, secundum segmentorum varietatem, quæ supra terram ab horizonte intercipiuntur.

Stellis ijs, quæ in Zodiaco circulo sunt sitæ, simul contingit matutinus ortus, & vespertinus occasus, & rursus simul matutinus occasus, & vespèrtinus ortus. Reliquis astris non simul prædictæ species perficiuntur, sed hæ variant secundum tempora, cùm stellæ habeant circularem motum ab ortu versus occasum. Quæ enim eorum astrorum sita sunt in circulo æquinoctiali, æqualem habent cursum supra terram, & infra terram. Æqualiter enim secatur æquinoctialis circulus ab horizōte. Quæ verò astra extra

ἰσημερινοῦ κύκλου, ταῦτα πλείονα μὲν χρόνον ὑπὲρ γῆν φέρεται, ἐλάττονα δὲ ὑπὸ γῆν. Πάντων γὰρ τῶν κύκλων, καθ' ὧν φέρονται οἱ ἀπλανεῖς ἀστέρες, μείζονα μὲν τμήματα ὑπὲρ γῆν ἀπολαμβάνεται ὑπὸ τοῦ ὁρίζοντος· ἐλάττονα δὲ ὑπὸ γῆν, διὰ τὸ ἔξαρμα τοῦ πόλου. Ὅσα δὲ τῶν ἄστρων πρὸς μεσημβρίαν κεῖται τοῦ ἰσημερινοῦ κύκλου, ἐλάττονα μὲν φορὰν ὑπὲρ γῆν φέρεται, πλείονα δὲ ὑπὸ γῆν. Πάλιν γὰρ τῶν κύκλων, καθ' ὧν φέρονται οἱ ἀπλανεῖς ἀστέρες οἱ ἐπὶ μεσημβρίαν κείμενοι, ἐλάττονα μὲν τμήματα ὑπὲρ γῆν ἔχουσι, μείζονα δὲ ὑπὸ γῆν. Τοιαύτης δὲ φορᾶς τοῖς ἀπλανέσιν ἄστροις ὑπαρχούσης, συμβαίνει μὴ πάντα τὰ ἅμα ἀνατέλλοντα καὶ ἅμα δύνειν: ἀλλὰ τῶν ἅμα ἀνατελλόντων ἀεὶ τὰ πρὸς μεσημβρίαν μᾶλλον αὐτῶν κείμενα πρότερον δύνειν, διὰ τὸ ἐλάττονα τμήματα ὑπὲρ γῆν φέρεσθαι. Ὁμοίως δὲ οὐδὲ τὰ ἅμα δύνοντα ἅμα καὶ ἀνατέλλει, ἀλλὰ τὰ πρὸς ἄρκτον αὐτῶν μᾶλλον κείμενα πρότερον ἀνατέλλει, διὰ τὸ ἐλάττονα τμήματα ὑπὸ γῆν φέρεσθαι. Πάλιν δὲ οὐδὲ τὰ πρότερον ἀνατέλλοντα καὶ πρότερον δύνει, ἀλλά τινα μὲν τῶν πρότερον ἀνατελλόντων, ἅμα καὶ δύνει, τινὰ δὲ ὕστερον. Ὁμοίως δὲ καὶ τῶν πρότερον δυνόντων τινὰ μὲν οὐ προανα-

-νος

τὸ γὰρ

æquinoctialem versus Boream sunt si-
ta, hæc maiori tempore feruntur supra
horizontem, minore tempore infra hori-
zontem. Omnium enim circulorum, in
quibus moventur inerrantes stellæ, ma-
iora segmenta supra terram intercipiun-
tur ab horizonte, minora verò infra ter-
ram, propter elevationem poli. Quæ
verò astra extra æquinoctialem versus
meridiem sunt posita, ea minorem ha-
bent motum supra terram, maiorem in-
fra terram. Rursus enim australes circu-
li, in quibus inerrantes stellæ feruntur,
minora segmenta habent supra terram,
maiora infra terram. Talis cum sit mo-
tus inerrantibus astris, evenit, ut non o-
mnia, quæ simul oriuntur, simul etiam
occidant: sed ex ijs, quæ simul oriuntur,
ea quę magis sunt australia, semper priùs
occidant, eo quod minora segmenta ha-
beant supra terram. Similiter neque ea,
quæ simul occidunt, simul etiam oriun-
tur, sed ex ijs ea, quæ sunt magis borealia,
priùs oriuntur, eo quod infra horizon-
tem minora habeant segmenta. Rursus
neq; ea, quæ priùs oriuntur, etiam prius
occidunt, sed quædam eorum, quæ prius
oriuntur, simul etiam occidunt, quæ-
dam verò posteriꝰ. Similiter eorum, quæ
prius occidunt, quædam quidem non

προανατέλλει, ἀλλ' ἅμα μὲν ἀνατέλλει, καὶ δύνει τὰ μὲν πρότερον, τὰ δὲ ὕστερον. Μνημονεύει δὲ καὶ τούτων ἐπὶ πόσων Ἄρατος λέγων οὕτως,

Ἀλλ' αἰεὶ ταῦρος προφερέστερος ἡνιόχοιο
Εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίην περ ἀνελθών.

Ἐν γὰρ τούτοις φησὶν ἅμα τὸν ταῦρον τῷ ἡνιόχῳ ἀνατείλαντα πρότερον δύνειν. Γίνεται δὲ τοῦτο παρὰ τὴν τῶν τμημάτων ὑπεροχὴν ὧν ὑπὲρ γῆν φέρονται, καὶ ὑπὸ γῆν οἱ ἀπλανεῖς ἀστέρες. Διὰ δὲ τὴν τοιαύτην σφαιροποιΐαν οὐ πάντα τὰ ἄστρα ἀνατέλλει καθ' ἑκάστην νύκτα: ἀλλὰ τινὰ μὲν ἀνατέλλει, καὶ δύνει, τινὰ δὲ ἀνατέλλει μὲν, οὐ δύνει δὲ, ἃ δὲ οὔτ' ἀνατέλλει, οὔτε δύνει: ἀλλὰ τὰ μὲν ἀρκτικώτερα κείμενα, μετέωρα ὑπάρχοντα μετὰ τὴν τοῦ ἡλίου δύσιν, πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς ἔτι μετεωρότερα φαίνεται: τὰ δὲ μεσημβρινώτερα κείμενα οὔτ' ἀνατέλλοντα, οὔτε δύνοντα θεωρεῖται: ἀλλὰ πάντα τὸν τῆς νυκτὸς χρόνον ὑπὲρ γῆν φέρονται: ὅθεν καί τινα τῶν ἄστρων ἀμφιφανῆ καλεῖται, καθάπερ καὶ ὁ ἀρκτοῦρος. Μετὰ γοῦν τὴν τοῦ ἡλίου δύσιν πλεονάκις θεωρεῖται δύνων τε ἐν τῇ αὐτῇ νυκτί, καὶ προανατέλλων τοῦ ἡλίου

oriuntur prius, sed simul oriuntur, & occidunt alia prius, alia posterius. Mentionem facit & horum ex parte Aratus, cum sic inquit:

Sed semper Taurus velocior auriga.
In alteram partem descendere, licet simul ascendat.

In his enim inquit, Taurum simul cum auriga ortum, prius tamen occidere. Fit autem hoc propter segmentorum excessum, in quibus supra terram, & infra terram inerrantes stellæ feruntur. Propter hanc autem sphæram non omnia astra oriuntur omni nocte: sed quædam oriuntur, & occidunt, quædam verò oriuntur quidem, non tamen occidunt; quædam verò neque oriuntur, neque occidunt: sed ea quæ magis sunt borealia, cum sint sublimia post Solis occasum, ante Solis ortũ adhuc sublimiora apparent. Quæ verò sunt magis australia, ea neq; oriri, neq; occidere spectantur, sed per omne noctis tempus supra horizontem feruntur. Vnde quædam Astrorũ vocantur bis apparentia: sicut & Arcturus. Post Solis enim occasum sæpe videtur & occidere eadem nocte, & ante Solem oriri

 spe-

φαίνεται

βλέπεται. Δι' ἣν αἰτίαν καλεῖται ἀμφιφανὴς, ὅτι καὶ ἀφ' ἑσπέρας δύνων, καὶ ἀνατέλλων ἐν τῇ αὐτῇ νυκτὶ θεωρεῖται. Τὰ δὲ ἐναντίαν ἔχει τάξιν. Ὅσα προδύνει μὲν τῆς τοῦ ἡλίου δύσεως, ἐπανατέλλει δὲ μετὰ τὴν τοῦ ἡλίου ἀνατολήν: ὥστε καθ' ὅλην τὴν νύκτα μὴ θεωρηθῆναι μήτ' ἀνατέλλοντα, μήτε δύνοντα, ἃ δὴ καλοῦσί τινες νυκτιδιέξοδα. οὐ κατὰ πάντα δὲ καιρὸν ταῦτα πάντα τὰ ἰδιώματα περὶ τοὺς αὐτοὺς ἀστέρας ὑπάρχει, ἀλλὰ περὶ τὰς τοῦ ἡλίου μεταβάσεις ἀλλοιοῦται καὶ τὰ περὶ τὰς ἀνατολὰς, καὶ τὰ περὶ τὰς δύσεις.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΓΗ ΖΩΝΩΝ.

Ἡ τῆς συμπάσης γῆς ἐπιφάνεια σφαιροειδὴς ὑπάρχουσα, διαιρεῖται εἰς ζώνας πέντε, ὧν δύο μὲν αἱ περὶ τοὺς πόλους, πορρωτάτω δὲ κείμεναι τῆς τοῦ ἡλίου παρόδου, κατεψυγμέναι λέγονται, καὶ ἀοίκητοι διὰ τὸ ψῦχος. Ἀφορίζονται δὲ ὑπὸ τῶν ἀρκτικῶν πρὸς τοὺς πόλους: αἱ δὲ τούτων ἑξῆς, συμμέτρως δὲ κείμεναι πρὸς τὴν τοῦ ἡλίου πάροδον, εὔκρατοι καλοῦνται. Ἀφορίζονται δὲ αὗται ὑπὸ τῶν ἐν τῷ κόσμῳ ἀρκτικῶν, καὶ τροπικῶν κύκλων μεταξὺ κείμεναι αὐτῶν. ἡ δὲ λοιπὴ μέση τῶν προειρημένων, κειμένη

δὲ

ſpectatur. Quam ob cauſſam vocatur Bis apparens, quod & à veſpera occidere, & oriri in eadem nocte ſpectetur. Alia verò ordinem habent cōtrarium, quæ occidunt ante Solis occaſum, oriuntur verò poſt Solis ortum, ita ut per totam noctem non videantur neque oriri, neque occidere, quæ nonnulli vocant Nyctidiexoda, id eſt, noctu late expatiantia. Non omni autem tempore hæ omnes proprietates circa eaſdē ſtellas eveniunt, ſed circa Solis tranſitus variantur, & ea quæ ad ortus, & ea, quæ ad occaſus ſpectant.

DE ZONIS IN *Terra.*

TOtius terræ ſuperficies, cūm ſit globoſa, dividitur in quinque zonas: quarum duæ, quæ ſunt circa polos, & longiſsimè ſitæ à Solis acceſſu, frigidæ dicuntur, atq; inhabitabiles propter frigus. Determinantur autem à circulis arcticis verſus polos. Zonæ verò, quæ his ſunt proximæ, & mediocriter poſitæ ad Solis acceſſum, Temperatæ vocantur. Determinantur aūt hæ à circulis in mundo Arcticis, & Tropicis, cū inter eos ſint ſitæ. Reliqua, quæ eſt media prædictarū,

Duæ frigidæ zonæ.

Duæ temperatæ zonæ.

&

δὲ ὑπ' αὐτὴν τὴν τοῦ ἡλίου πάροδον, διακεκαυμένη καλεῖται. Διχοτομεῖται δ' αὕτη ὑπὸ τοῦ ἐν τῇ γῇ ἰσημερινοῦ κύκλου, ὃς κεῖται ὑπὸ τὸν ἐν τῷ κόσμῳ ἰσημερινὸν κύκλον. Τῶν δὲ εὐκράτων δύο ζωνῶν τὴν βόρειον, τὴν καθ' ἡμᾶς οἰκουμένην, οἰκεῖσθαι συμβέβηκεν, ἐπὶ μὲν τὸ μῆκος ὅσον ὡς ἔγγιστα περὶ δέκα μυριάδας σταδίων, ἐπὶ δὲ τὸ πλάτος ὡς ἔγγιστα τὸ ἥμισυ.

ἀπὸ τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ κατοικεῖσθαι συμβέβηκεν, ἐπὶ μὲν τὸ μῆκος

ΠΕΡΙ ΟΙΚΗΣΕΩΝ.

Τῶν δὲ ἐπὶ γῆς κατοικούντων οἱ μὲν λέγονται σύνοικοι, οἱ δὲ περίοικοι, οἱ δὲ ἄντοικοι, οἱ δὲ ἀντίποδες. Σύνοικοι μὲν οὖν εἰσιν οἱ περὶ τὸν αὐτὸν τόπον τῆς αὐτῆς ζώνης κατοικοῦντες. Περίοικοι δὲ οἱ ἐν τῇ αὐτῇ ζώνῃ κύκλῳ περιοικοῦντες. Ἄντοικοι δὲ οἱ ἐν τῇ αὐτῇ νοτίῳ ζώνῃ ὑπὸ τὸ αὐτὸ ἡμισφαίριον κατοικοῦντες. Ἀντίποδες δὲ οἱ ἐν τῇ νοτίῳ ζώνῃ, ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ κατοικοῦντες κατὰ τὴν αὐτὴν διάμετρον κείμενοι τῇ καθ' ἡμᾶς οἰκουμένῃ. Διὸ κέκληνται ἀντίποδες. Πάντων γὰρ τῶν βαρέων ἐπὶ τὸ κέντρον συννευόντων, διὰ τὸ ἐπὶ μέσον εἶναι τὴν φορὰν τῶν σωμάτων, ἐὰν ἀπό τινος οἰκήσεως τῶν ἐπὶ τῇ καθ' ἡμᾶς οἰκουμένῃ ἐπὶ τὸ κέν-

τρον

& sita sub ipso Solis accessu, Torrida vocatur. Atque hæc à terrestri æquinoctiali æqualiter secatur, qui situs est sub mundano æquinoctiali circulo. Ex temperatis Zonis duabus eam, quæ est borea, quæque à nobis habitatur, contingit habitari, cùm in longitudinem sit ferè circa 100000 stadiorum, in latitudinem ferè sit medietas stadiorum.

Vna Torrida zona.

DE HABITATIONIBUS.

Ὅτι δὲ οὐκ ἔστιν ὁ ἀστὴρ παραίτιος τῆς ἐπιτάσεως τῶν καυμάτων, ἐκ τῶν λέγεσθαι μελλόντων φανερόν. Πρῶτον μὲν γὰρ πολλάκις συνανατέλλουσι τῷ ἡλίῳ καὶ πλείονες, καὶ μείζονες ἀστέρες, καὶ οὐδεμίαν αἰσθητὴν ποιοῦσι παραλλαγὴν, ἀλλ' ἔστιν ὅτε ἐκ τῶν ἐναντίων ἐν ταῖς ἐπιτολαῖς αὐτῶν, καὶ δύσεσι χειμῶνες γίνονται, καὶ ἄνεμοι ψυχροὶ πνέουσιν, ὡς μηδὲν αὐτῶν συμβαλλομένων πρὸς τὴν ἐπίτασιν τῶν καυμάτων. Πολλάκις δὲ καὶ ἐν τῷ αὐτῷ ζωδίῳ τῷ ἡλίῳ γίνονται ἀστέρες τῶν ε πλανητῶν οἱ μέγιστοι, φαέθων, φωσφόρος, πυρόεις, ἀφ' ὧν καὶ δυνάμεις ἐπὶ τὴν γῆν πίπτουσι, καὶ οὐδὲν παρὰ τὴν αὐτῶν αἰτίαν διαφορώτερον περὶ τὸν ἀέρα γίνεται. Ἐξ οὗ φανερὸν, ὅτι οὐδὲν συμβάλλονται πρὸς τὴν ἐπίτασιν τῶν καυμάτων οὔθ' οἱ ἀπλανεῖς, οὔθ' οἱ πλανηταὶ ἀστέρες. Εἰ γοῦν δύναμίν τινα προσεφέρετο ὁ κύων, ἔδει κατὰ τὴν ἀναβολὴν, τῶν καυμάτων γίνεσθαι ἐπίτασιν. Τότε γὰρ ἅμα συνανατέλ-

λει

ſent omnibus hominibus communem diem determinare, in qua hæ intentiones æſtuum fiunt, cumque circa hoc tempus hæc ſtella oriretur, huius apparitione hoc tempus ſignificaverunt.

Quod autem hæc ſtella non ſit cauſa intentionis æſtuum, ex ijs, quæ dicentur, erit manifeſtum. Primum enim ſæpe cooriuntur cum Sole & plures, & maiores ſtellæ, & nullam ſenſibilem efficiunt varietatem, ſed interdum è contrario in ortibus, & occaſibus earum tempeſtates fiunt, & venti frigidi ſpirant, tanquam hi ortus, & occaſus nihil conferant ad intentionem æſtuum. Sæpe etiam in eodem ſigno cum Sole fiunt è quinque Planetis ſtellæ maximæ, Iupiter, Lucifer, & Mars, à quibus & vires in terram cadunt; & tamen propter horum cauſam nihil circa aërem magis fit diverſum. Ex quo manifeſtum eſt, quod nihil conferant ad intentionem æſtuum neque inerrantes, neque errantes ſtellæ. Si enim vim quandam afferret Canis, oportebat in vero ortu intentionem æſtuum fieri. Tunc enim ſimul una oritur

λει τοῦ ἡλίου. οὐ γίνεται δὲ τοῦτο, ἀλλὰ κατὰ
τὴν ἐπιφαινομένην ἐπιτολὴν τὰ μέγιστα καύ-
ματα γίνεται. Περὶ γὰρ τὸν καιρὸν τοῦτον ὁ ἥ-
λιος διὰ τὰς προειρημένας αἰτίας παραί-
τιός ἐστι τῆς ἐπιτάσεως τῶν καυμάτων. Ἐν
ῥόδῳ μὲν γὰρ μετὰ λ ἡμέρας τῆς τροπῆς ἐ-
πιτέλλει ὁ ἀστήρ: ἐν ἄλλοις δὲ τόποις μετὰ μ
ἡμέρας τῆς θερινῆς τροπῆς: οἷς δὲ μετὰ ν. ὥστε
μηκέτι τὴν ἐπίτασιν τῶν καυμάτων τὴν
ἐπιτολὴν αὐτοῦ ποιεῖσθαι. Ἐκ τούτων φανερὸν,
ὅτι ὁ μὲν τὴν ἐπίτασιν τῶν καυμάτων περι-
έχων καιρὸς εἷς ἐστὶν ὁ μετὰ τὰς θερινὰς τρο-
πὰς ἡμέρας λ. Ἐν δὲ τοῦ χρόνῳ τούτῳ, παρ'
οἷς μὲν ὁ κύων ἐπιτέλλει, καὶ τὸν καιρὸν μη-
νύει. Παρ' οἷς δὲ ἄλλο τι τῶν κατηστερισμένων
ἄστρων. Οὐ γὰρ ἅμα πᾶσι τοῖς ἄστροις τὰς
ἐπιτολὰς, καὶ τὰς δύσεις συμβαίνει γίνεσθαι.

Τὸ δὲ λεγόμενον ὑπὸ τῶν πλείστων, ὅτι
περὶ τὸν καιρὸν τοῦτον ἀνατέλλει σὺν τοῦ ἡ-
λίου, παντελῶς ἐστὶν ἰδιωτικόν. Ἐν γὰρ τούτῳ
τοῦ χρόνῳ πλεῖστον ἀπὸ τοῦ ἡλίου διέστηκεν ὁ
ἀστήρ. Ὁ μὲν γὰρ ἥλιος πάντως ἐπὶ τοῦ
θερινοῦ τροπικοῦ κύκλου τὴν πάροδον ποιεῖται:
ὁ δὲ ἐπὶ τοῦ χειμερινοῦ τροπικοῦ κύκλου κεῖται,
ὥστε πλεῖστον ἀπ' ἀλλήλων διάστημα ἀπέχειν
αὐτούς. Πῶς ἂν οὖν δύναιτο παραίτιος γίνε-
σθαι

tur cum Sole. Non fit autem hoc, sed in apparenti ortu maximi fiunt æstus. Circa hoc enim tempus Sol propter dictas caussas caussa est intentionis æstuum. In Rhodo enim post 30 dies solstitij, oritur hæc stella: in alijs locis post 40 dies æstivi solstitij: alijs post 50, ita ut eius ortus non amplius faciat intentionem æstuum. Vnicuique manifestum est, unum esse illud tempus, quod intentionem æstuum comprehēdit, quod est post dies 30 solstitij æstivi. In hoc autem tempore apud alios Canis oritur, & tempus indicat: apud alios verò aliud quoddam ex astris constellationum. Non enim simul omnibus astris ortus & occasus contingit fieri.

Quod verò à plurimis dicitur, quod circa tempus hoc canis oriatur cum Sole, omnino populare est. In hoc enim tempore plurimum à Sole distat hæc stella. Sol enim omnino in æstivo tropico circulo iter facit, Canis verò in hyberno tropico circulo situs est, ita ut hi maximam à se invicem habeant distantiam. Quomodo igitur posset Canis caussa esse

σθαι τῆς ἐπιτάσεως τῶν καυμάτων; ἐπί-
τασιν δὲ ἐποίει ἄν, εἴ τινα δύναμιν εἶχεν ὁ ἀστὴρ
ἅμα γινόμενος τῷ ἡλίῳ κατὰ χειμερινὰς
τροπάς, ὅταν ἐπὶ τοῦ αὐτοῦ κύκλου φέρηται ὁ ἀ-
στὴρ τῷ ἡλίῳ. Τότε γὰρ ἔδει γενέσθαι τινὰ
πρὸς τὸ φαινόμενον αἰσθητὴν περὶ τὸν ἀέ-
ρα παραλλαγήν. Οὐ γίνεται δὲ τοῦτο, ἀλλ' ἐκ
τῶν ἐναντίων χειμών. Ὅθεν τοῖς παραπή-
γμασι παράκειται σημεῖον. ὥστε εἶναι φανερὸν
ἐκ πάντων, ὅτι οὔθ' οὗτος ὁ ἀστὴρ, οὔτ' ἄλλος
οὐδεὶς τηλικαύτην τινὰ δύναμιν ἔχει, ὥστε
μεταβολὰς περὶ τὸν ἀέρα κατασκευάζειν,
ἀλλ' ἔστι τὸ ἡγεμονικὸν αἴτιον περὶ τὸν ἥλιον:
αἱ δὲ τούτων ἐπιβολαὶ καὶ δύσεις, ἐπὶ τὴν ἐπί-
γνωσιν τῶν περὶ τὸν ἀέρα μεταβολῶν πα-
ράκεινται. Δι' ἣν αἰτίαν οὐδὲ διὰ παντὸς συμ-
φωνοῦσιν. Ὅθεν βελτίοσιν ἄντις σημείοις
χρήσαιτο τοῖς ὑπὸ τῆς φύσεως ἡμῖν διδο-
μένοις, οἷς καὶ Ἄρατος κέχρηται. Τὰς μὲν
γὰρ ἐκ τῶν ἐπιτολῶν, καὶ δύσεων τῶν ἀ-
στρων γινομένας μεταβολὰς τοῦ ἀέρος ᾠήθη
εἶναι διεψευσμένας, τὰς δὲ φυσικῶς γινομέ-
νας, ἃ μετά τινος αἰτίας κατεχώρισεν ἐν
τῇ τῶν Φαινομένων πραγματείᾳ ἐπὶ πᾶσι τῆς
ὅλης συντάξεως. Λαμβάνει γὰρ τὰς προγνώ-
σεις ἀπὸ τῆς τοῦ ἡλίου ἀναβολῆς, καὶ δύσεως,
καὶ

intentionis æstuum? Faceret autem intentionem, si quam vim haberet hæc stella, tum, cum esset coniunctus Soli secundum hybernas conversiones, cumq; ferretur in eodem circulo hæc stella cum Sole. Tunc enim oportebat aliquam fieri contra idquod apparet, sensibilem aëris mutationem. Non fit autem hoc, sed è contrario potius, hyems seu tempestas. Vnde tabulis pro signo ascribitur ortus Canis. Itaq; manifestum est ex omnibus, neq; hanc stellã, neq; aliam ullam tantam habere vim, ut circa aërem mutationes efficiat, sed principalem esse caussam Solem. Harum verò ortus, & occasus in cognitionem mutationum aëris apponuntur. Quam ob caussam neque semper congruunt. Vnde pro melioribus aliquis signis uteretur ijs, quæ à natura nobis dantur, quibus & Aratus est usus. *Aratus.* Nam eas aëris mutationes, quæ fiunt ex ortibus & occasibus astrorum, putavit esse falsas: eas verò, quæ fiunt Physicè, & cum quadam caussa, seorsim posuit in apparentiarum tractatu, in omnibus totius scripti partibus. Sumit enim præcognitiones à Solis ortu, & occasu,

καὶ ἀπὸ τῶν τῆς σελήνης ἀνατολῶν, καὶ δύσεων, καὶ ἀπὸ τῆς ἅλω τῆς γινομένης περὶ τὴν σελήνην, καὶ ἀπὸ τῶν διαϊσσόντων ἀστέρων, καὶ ἀπὸ τῶν ἄλλων ζώων. Αἱ γὰρ ἀπὸ τούτων προγνώσεις μετά τινος φυσικῆς αἰτίας γινόμεναι, κατηναγκασμένα ἔχουσι τὰ ἀποτελέσματα. Ὅθεν καὶ Βόηθος ὁ φιλόσοφος ἐν τῷ τετάρτῳ βιβλίῳ τῆς Ἀράτου ἐξηγήσεως, φυσικὰς τὰς αἰτίας ἀποδέδωκε τῶν τε πνευμάτων, καὶ ὄμβρων, ἐκ τῶν προειρημένων εἰδῶν τὰς προγνώσεις ἀποφαινόμενος. Τούτοις δὲ τοῖς σημείοις καὶ Ἀριστοτέλης ὁ φιλόσοφος κέχρηται, καὶ Εὔδοξος καὶ ἕτεροι πλείονες τῶν ἀστρολόγων.

ΠΕΡΙ ἘΞΕΛΙΓΜΟΥ.

Ἐξελιγμός ἐστι χρόνος ἐλάχιστος περιέχων ὅλους μῆνας, καὶ ὅλας ἡμέρας, καὶ ὅλας ἀποκαταστάσεις τῆς σελήνης. Ἐπεὶ γὰρ ὁ μηνιαῖος χρόνος παρετηρήθη ὑπάρχων ἡμερῶν εἴκοσι ἐννέα $\frac{α}{β}$, ὡς ἔγγιστα τριακοστοῦ τρίτου. ἡ δὲ ἀποκατάστασις τῆς σελήνης ἡμερῶν κζ, ὀκτὼ καὶ δεκάτου ὡς ἔγγιστα, ἐζητεῖτο χρόνος ὁ ἐλάχιστος, ὅστις περιέχει ὅλας ἡμέρας, καὶ ὅλους μῆνας, καὶ ὅλας ἀποκατα-

στάσεις

& à Lunæ ortibus, & occasibus, & ab area sive corona, quæ fit circa Lunam, & à stellis cadentibus, & à brutis animalibus. Nam quæ præcognitiones cum quadam Physica caussa ex his fiunt, necessaria habent responsa, seu effectus. Vnde & Boethus Philosophus in quarto libro expositionis Arati, physicas caussas cum ventorum, tum imbrium exposuit, cum ex prædictis generibus præcognitiones ostendat. His signis & Aristoteles Philosophus usus est, & Eudoxus, & plures alij Astrologi.

Boethus.

Aristoteles.

Eudoxus.

DE EVOLVtione.

EVolutio est tempus minimum, continens integros menses, & integros dies, & integras restitutiones Lunæ. Cum enim menstruum tempus observatum sit esse dierum $29\frac{1}{2}\ \frac{1}{33}$ ferè: Restitutio verò Lunæ dierum $27\frac{1}{18}$ ferè, quærebatur tempus minimum, quod continet integros dies, & integros menses, & integras restitutiones

Vide caput de Mensibus.

στάσεις. Ἔστι δὲ τοιαύτη ἡ εὕρεσις. ἡ σελήνη ἀνω-
μάλως φαίνεται διαπορευομένη τὸν ζωδια-
κὸν κύκλον, καὶ περιφέρειάν τινα ἐν ἐχθεῖσα,
Ἐν τῇ ἐχομένῃ ἡμέρᾳ μείζονα ταύτης κινεῖ-
ται, καὶ ἀεὶ μείζονα ταῖς ἑξῆς ἡμέραις, ἕως ἂν
μεγίστην περιφέρειαν κινηθῇ. Εἶτ᾽ αὖθις εἰς
τὴν ἐλάττονα τῆς προηγουμένης, ἕως ἂν ἐπὶ
τὴν ἐξ ἀρχῆς ἐλαχίστην περιφέρειαν ἀποκα-
ταστάθῇ. Ὁ δὲ χρόνος ὁ ἀπὸ τῆς ἐλαχίστης κι-
νήσεως ἐπὶ τὴν ἐλαχίστην κίνησιν ἀποκα-
τάστασις καλεῖται. Παρατετήρηται δὲ ὁ ἐξελιγ-
μὸς περιέχων ὅλους μῆνας χξθ, ἡμέρας δὲ
α,θψνς. Ἐν δὲ τῷ χρόνῳ τούτῳ ποιεῖται τὰς
κατὰ μῆκος ἀνωμαλίας ἡ σελήνη ἀποκατα-
στάσεις ψιζ: κύκλους δὲ ζωδιακοὺς διαπο-
ρευομένη ἐν τῷ προειρημένῳ χρόνῳ ψκγ, καὶ
προσεπιλαμβάνουσα μοίρας λβ. Ἔχοντες
δὲ ταῦτα τὰ φαινόμενα ἐκ παλαιῶν χρόνων
ἐξητημένα, δέον συστήσασθαι τὴν κατὰ μῆ-
κος ἀνωμαλίαν ἡμερήσιον τῆς σελήνης, τίς
ἐστιν ἐλαχίστη κίνησις αὐτῆς, καὶ τίς ἡ μεγίστη,
καὶ τίς ἡ μέση, καὶ τίς ἡ καθ᾽ ἡμέραν παραύξη-
σις, ἢ μείωσις αὐτῆς, ἐπιλαμβάνοντες ἐκ
τοῦ φαινομένου καὶ τοῦτο, ὅταν μὲν ἢ τὰς ἐλαχί-
στας κινῆται, πλείονα μὲν τῶν ια μοιρῶν κινεῖσθαι,
ἐλάττονα δὲ τῶν ιβ· ὅταν δὲ τὰς μεγίστας κινῆται,
πλείο-

nes. Inventio autem est talis. Luna irregulariter peragrare Zodiacum circulū, & ferri per arcum quendam cōspicitur. Die sequenti hoc arcu maiorem conficit: & semper maiorem diebus cōtinuò sequentibus, donec per maximum arcum mota fuerit. Deinde rursus in arcum minorem præcedenti, donec in minimum, qui fuit ab initio, arcum restituta fuerit. Tempus verò, quod est à minimo motu ad minimum motum, restitutio vocatur. Observata autem est evolutio continens integros menses 669, dies verò 19756. In hoc autem tempore Luna Anomaliæ secundum longitudinem facit restitutiones 717, circulos Zodiacos peragrans in iam dicto tempore 723, & insuper assumens gradus 32. Habemus autem has apparentias ex veteribus temporibus quæsitas, & cōstituere oportet eam diurnam Lunæ anomaliam, quæ est secundum longitudinem, quis sit minimus motus eius, & quis maximus, & quis medius, & quod quotidianum incrementum, & decrementum eius. Accipimus autem ex Apparentia & hoc, cum Luna motus minimos facit, plus eam moveri 11 gradibus, minus 12 gradibus; Cum verò maximos facit motus, plus

Evolutionis inventio.

Evolutionis menses integri quot.

Huius capitis quæsita proponuntur.

Termini minimorū,

πλείονα μὲν τῶν ιε μοιρῶν κινεῖσθαι, ἐλάττονα δὲ τῶν ις.

Ἐπεὶ τοίνυν παρατετήρηται ἡ σελήνη ἐν ἡμέραις ͵ιθψνς διαπορευομένη ζωδιακοὺς κύκλους ψκγ, καὶ ἔτι μοίρας λβ, Ἕκαστος δὲ τῶν κύκλων ἔχει μοίρας τξ: Ἀνελύσαντο τῶν κύκλων πλῆθος εἰς μοίρας, καὶ προσέθηκε τὰς λβ, γίνεται ὁ πᾶς ἀριθμὸς μοιρῶν ,σ,ξτιβ, ἐν ἄρα ἡμέραις μάλιστα ͵ιθψνς διαπορεύεται ἡ σελήνη τὸ προειρημένον πλῆθος τῶν μοιρῶν. Ὁ δὴ πλῆθος εἰς τὸ τῶν ἡμερῶν πλῆθος μερίσαντες, εὑρήσομεν τὴν μέσην ἡμερήσιον κίνησιν τῆς σελήνης. Ὅταν γὰρ μήτε τὴν ἐπίτασιν τῆς κινήσεως, μήτε τὴν ἄνεσιν ὑπολογισάμενος, ἐξ ὁμαλοῦ μερίσωμεν τὸ τῶν μοιρῶν πλῆθος: τότε ἡ εὑρεθεῖσα κίνησις μέση καλεῖται. Εὑρίσκεται δὲ αὕτη γινομένη μοιρῶν ιγ, πρώτ: ἑξηκ: ι, καὶ δευτέρων λε. Καλεῖται δὲ τὸ μὲν τῆς μιᾶς μοίρας ἑξηκοστὸν, πρῶτον ἑξηκοστόν: τὸ δὲ τοῦ πρώτου ἑξηκοστοῦ ἑξηκοστὸν, δεύτερον ἑξηκοστόν. Ὁμοίως δὲ καὶ τὸ δεύτερον ἑξηκοστὸν διαιρεθὲν εἰς μέρη ξ, καλεῖται τὸ ἓν μέρος τρίτον ἑξηκοστόν. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν ἑξηκοστῶν.

Circuli 723 multiplicati per 360 gradus dant 260280 gradus, quibus additi 32, faciũt gradus 260312, ut textus postulat.

Ταύτης

plus eam moveri 15 gradibus, minus verò 16 gradibus.

& maximorum motuum Lunæ.

Cùm igitur observatum sit, Lunam in diebus 19756 peragrare Zodiacos circulos 723, & præterea adhuc gradus 32: unusquisque autem circulorum habeat gradus 360, refundit Luna circulorum multitudinem in gradus, & addit gradus 32. Fit igitur totus numerus graduum 260312. In diebus igitur maxime 19756 percurrit Luna prædictum numerum graduum. Quam multitudinem in dierum multitudinem dividentes inveniemus medium diurnum motum Lunæ. Cum enim neque intentionem motus, neque remissionem reputantes, ex æquali diviserimus graduum multitudinem, tunc inventus motus vocatur medius. Invenitur autem hic medius motus graduum 13, primorum sexagesimorum 10, & secundorum 35. Vocatur autem unius gradus sexagesimum, primum sexagesimum, & unius primi sexagesimi sexagesimum vocatur secundum sexagesimum. Similiter etiam unum secundum Sexagesimum cum divisum est in partes 60: vocatur una particula tertium sexagesimum. Eadem est ratio etiam in reliquis sexagesimis.

Medius motus Lunæ diurnus quomodo quæratur.

Medius motus diurnus Lunæ quantus.

Hæc ex Logisticè Astronomica planissimè intelliguntur.

Cum

τιαύτης Ταύτης δὲ τῆς διατάξεως ὑπαρχούσης τῶν ἀριθμῶν, ὑπὸ τῶν χαλδαίων εὑρηται ἡ μέση κίνησις τῆς σελήνης μοι. ιγ, ι, λε″. Καὶ ἐπεὶ ἐν ἡμέραις ͵ι θ ∔ ν ς ἀποκαταστάσεις ποιεῖται ἡ σελήνη ∔ ι ζ, ἐὰν βουλώμεθα εἰδῆναι γνῶναι τὴν μίαν ἀποκατάστασιν, ἐν πόσαις ἡμέραις ποιεῖται ἡ σελήνη, μερίσομεν τὸ τῶν ἡμερῶν πλῆθος εἰς τὸ τῶν ἀποκαταστάσεων πλῆθος. γίνονται δὲ ἡμέραι τῆς ἀποκαταστάσεως εἴκοσι ἑπτά, καὶ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα λγ, καὶ δεύτερα κ. Ἐν ἄρα ἡμέραις τοσαύταις ἡ σελήνη ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν ἐλαχίστην παραγίνεται.

Καὶ ἐπεὶ ἐν πάσῃ ἀποκαταστάσει δ εἰσὶ χρόνοι ἴσοι, ἔλαβον τέταρτον μέρος τῶν κζ ἡμερῶν, λ γ λεπτῶν πρώτων, καὶ κ δευτέρων λεπτῶν, καὶ γίνονται ἡμέραι ς, ν γ, καὶ κ″. Ἐν ἄρα τοσαύταις ἡ σελήνη ἡμέραις ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν μέσην παραγίνεται, καὶ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην, καὶ πάλιν ὁμοίως ἀπὸ τῆς μεγίστης ἐπὶ τὴν μέσην, καὶ ἀπὸ τῆς μέσης ἐπὶ τὴν ἐλαχίστην. Οἱ γὰρ δ οὗτοι χρόνοι εἰσὶν ἀλλήλοις ἴσοι.

Καὶ ἐπειδὰν ὦσι τρεῖς ἀριθμοὶ, ἴσῳ ἀλλήλων ὑπερέχοντες, γίνονται οἱ ἄκροι τοῦ μέσου διπλασίονες: ἐν δὲ τῇ κινήσει τῆς σελήνης τρεῖς εἰσὶν ἀριθμοὶ τῷ ἴσῳ ἀλλήλων ὑπερ-

Cum numerorum hic sit ordo, à Chaldæis inventus est medius motus Lunæ graduum 13,10',35". Cumque in diebus 19756 Luna faciat restitutiones 717, si voluerimus cognoscere, unam restitutionem in quot diebus faciat Luna, dividemus dierum multitudinem in restitutionum multitudinem, & fiunt dies restitutionis 27, & unius diei sexagesima prima 33, & secunda 20. In tot igitur diebus Luna à minimo motu ad minimum motum proficiscitur.

Restitutionis dies 27. 33'.20".

Et cum in omni restitutione 4 sint tempora æqualia, acceperunt quartam partem dierum 27, 33', & 20", & fiunt dies 6, 53', & 20". In tot igitur diebus Luna à minimo motu ad medium proficiscitur, & à medio ad maximum, & rursus similiter à maximo ad medium, & à medio ad minimum. Nam hæc quatuor tempora inter se sunt æqualia.

Dierum restitutionis quarta pars.

Et cum, si fuerint tres numeri ex æquo se superantes, extremi simul sumti sint duplo maiores medio: in motu aũt Lunæ tres sint numeri ex æquo se invicẽ supe-

8. 6. 4. 12.

ὑπερέχοντος, ἥ τε ἐλαχίστη κίνησις, καὶ ἡ μέση, καὶ ἡ μεγίστη: ἐὰν ἄρα τὴν μεγίστην καὶ τὴν ἐλαχίστην συνθῶμεν, ἔσονται διπλασίονες τῆς μέσης κινήσεως. ἦν δὲ ἡ μέση κίνησις μοιρ: ιγ, λεπτῶν ι΄, λε΄. Ἐπολλαπλασιάσαμεν ταῦτα δὶς, καὶ γίνονται μοῖραι κϛ, κα΄, ι΄΄. ἡ ἄρα μεγίστη κίνησις τῆς σελήνης, καὶ ἡ ἐλαχίστη ἐπ᾽ ἀκριβὲς συντεθεῖσαι γίνονται ἡμέραι κϛ, κα΄, ι΄΄. ἀλλὰ αἱ κατὰ τὸ ὁλοσχερὲς ἐκ τηρήσεως εἰλημμέναι αἱ τῇ μεγίστῃ καὶ ἐλαχίστῃ μοῖραι κϛ. λοιπὰ ἄρα ἐστὶ τὰ ἐκφυγόντα τὴν διὰ τῶν φαινομένων, καὶ τὴν τῶν ὀργάνων παρατήρησιν, μιᾶς μοίρας πρῶτα ἑξηκοστὰ κα, καὶ δεύτερα ι. Ταῦτα ἄρα δεῖ προσεπιμερίσαι, τῇ τε ἐλαχίστῃ, καὶ τῇ μεγίστῃ, ὅπως αἱ δύο συντεθεῖσαι κινήσεις ἀποτελέσῃ μοίρας κϛ, κα΄, ι΄΄. Προσθεῖναι δὲ δεῖ τὴν ἐπουσίαν οὕτως, ὥστε μήτε τὴν ἐλαχίστην μείζονα ἄγεσθαι τῶν ιβ μοιρῶν, μήτε τὴν μεγίστην μείζονα μοιρῶν ιϛ. Ἐπιμεριοῦμεν ᾗ ὕτω. Ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις ϛτε, καὶ νγ πρώτοις, καὶ δευτέροις κ παραγίνεται ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν μέσην, καὶ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην, καὶ διὰ παντὸς τῇ ἴσῃ παραυξήσει, καὶ μειώσει χρῆται, δεῖ εὑρεῖν ἀριθμὸν, ὃς πολλαπλασιάσας τὸ

τέταρτον

ἡ μοῖρα

ſuperantes, nempe motus minimus, & medius, & maximus: ſi igitur motum maximum, & minimum componamus, erunt hi compoſiti duplo maiores medio. Erat autem medius motus graduum 13, 10′. 35″. Multiplicaverunt hæc bis, & proveniunt ex multiplicatione gradus 26, 21′, 10″. Maximus igitur motus Lunæ, & minimus præciſe compoſiti ſunt dies 26, 21′, 10″. Atqui qui gradus ex obſervatione ſumti ſunt non exacte, hi maximo & minimo motui ſunt gradus 26. Reliqua igitur ſunt ea ſexageſima, quæ effugerunt obſervationem per apparentias, & organa factam, videlicet unius gradus prima ſexageſima 21, & ſecunda 10. Hæc igitur oportet inſuper attribuere & minimo, & maximo motui, ut duo hi motus compoſiti efficiant gradus 26, 21′, 10″. Addere autem oportet ſic hanc neceſſariam appendicem, ut neque minimus motus agatur maior gradibus 12, neque maximus maior gradibus 16. Sic autem attribuemus. Cum Luna in diebus & 6, & 53′, & 20″ proficiſcatur à minimo motu ad medium, & à medio ad maximum, & ſemper æquali incremento, & decremento utatur, inveniendus eſt numerus, qui multiplicans

Si enim extremi numeri ſimul ſumti ſunt duplo maiores medio: erũt æquales medio bis ſumto.

τέταρτον μέρος τοῦ ἀποκαταστατικοῦ χρόνου, ἀποτελέσει τινὰ ἀριθμὸν, ὃς προστεθεὶς μὲν τῇ μέσῃ κινήσει συνάξει τινὰ ἀριθμὸν μείζονα μὲν τῶν ιε μοιρῶν, ἐλάττονα δὲ τῶν ις, ἀφαιρεθεὶς δὲ ἀπὸ τῆς μέσης κινήσεως ἀπολείψει τινὰ ἀριθμὸν, μείζονα μὲν τῶν ια μοιρῶν, ἐλάττονα δὲ τῶν ιβ. Τὰ δὲ προστιθέμενα ταῖς ιε μοίραις, καὶ ταῖς ια, ἔσται ὡσεὶ τὰ ἀπὸ πρῶτα ἑξηκοστὰ κα, καὶ δεύτερα ι. Εὑρίσκεται δὲ ἴσον ποιῶν ὁ τῶν ιη ἑξηκοστῶν πρώτων. Ἐὰν γὰρ ταῦτα πολλαπλασιασθῇ. ὡσεὶ τὸ τέταρτον μέρος τῆς ἀποκαταστάσεως, ἐστι τὰς ἡμέρας ς, ν γ πρῶτα λεπτὰ, ἢ κ δεύτερα, ἀποτελοῦνται μοῖραι β, καὶ πρῶτα ἑξηκοστὰ δ. Ταῦτα προσέθηκα τῇ μέσῃ κινήσει ταῖς ιγ, ι, λε΄, καὶ γίνονται μοῖραι ιε, ιδ΄, λε΄, καὶ ἀφέλω ἀπὸ τῆς μέσης κινήσεως τὰς β μοίρας, καὶ τὰ πρῶτα ἑξηκοστὰ δ, ἐστι τὰ λείποντα, μοίρας ια, ς΄, λε΄΄ λ εὕρηται ἄρα ἡ μὲν ἐλαχίστη κίνησις τῆς σελήνης μοιρ: ια, πρώτων ἑξηκοστῶν ς, δευτέρων δὲ ια, τρίτων λε, ἡ δὲ μέση κίνησις μοιρ: ιγ. ι. λε΄΄, ἡ μεγίστη δὲ κίνησις μοιρ: ιε. ια. λε΄΄: ἡ δὲ ἡμερησία παραύξησις πρώτων ἑξηκοστῶν ιη.

ΧΡΟΝΟΙ

quartam partem restitutitivi temporis efficiat numerum, qui additus medio motui colligat quendam numerum maiorem quidem 15 gradibus, minorem verò 16 gradibus: sublatus autem à medio motu relinquat numerum quendam maiorem quidem 11 gradibus, minorem verò 12 gradibus. At quæ adduntur gradibus 15, & gradibus 11, ea erunt quoque prima sexagesima 21, & secunda 10. Invenitur autem hoc facere numerus 18 sexagesimorum primorum. Si enim hæc multiplicata fuerint in quartam partem Restitutionis, nempe in dies 6, 53′, *&* 20″, producuntur gradus 2 & 4′. Hæc addidi medio motui nempe gradibus 13, 10′, 35″, & fiunt gradus 15, 14′, 35″. Et subtraxi à medio motu hos gradus 2 *&* 4′, & reliqui sunt grad. 11, 6′, 35″. Invẽtus est igitur minimus motus Lunæ graduũ 11, 6′, 11″, 35‴. Medius motus graduum 13, 10′, 35″. Maximus motus graduum 15, 11′, 35″. Diurnum autem incrementum 18′.

Diurnum incrementum motus Lunæ.



R ij TEM-

ΧΡΟΝΟΙ ΤΩΝ ΖΩΔΙΩΝ, ΕΝ οἷς ἕκαστον αὐτῶν ὁ ἥλιος διαπορεύεται, καὶ αἱ καθ' ἕκαστον ζώδιον γινόμεναι ἐπισημασίαι, αἱ ὑπογεγραμμέναι εἰσίν.

Ἀρξώμεθα δὲ ἀπὸ θερινῆς τροπῆς.

Καρκῖνον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λα. Πρώτῃ ἡμέρᾳ Καλίππῳ καρκῖνος ἄρχεται ἀνατέλλειν, τροπαὶ θεριναί, καὶ ἐπισημαίνει. Ἐννάτῃ ἡμέρᾳ Εὐδόξῳ νότος πνεῖ. Ἑνδεκάτῃ ἡμέρᾳ Εὐδόξῳ ὠρίων ἑῷος ὅλος ἐπιτέλλει, Εὐκτήμονι ὠρίων ὅλος ἐπιτέλλει. Ἑνδεκάτῃ Δοσιθέῳ στέφανος ἑῷος ἄρχεται δύνειν. κη Δοσιθέῳ ἐν Αἰγύπτῳ κύων ἐκφανὴς γίνεται. κη ⊙ εη Μέτωνι κύων ἐπιτέλλει ἑῷος. κη καὶ ζη Εὐκτήμονι κύων ἐπιτέλλει, Εὐδόξῳ κύων ἑῷος ἐπιτέλλει, καὶ τὰς ἑπομένας ἡμέρας νε Ἐτήσιαι πνέουσιν, αἱ δὲ πέντε αἱ πρῶται πρόδρομοι καλοῦνται. Καλίππῳ καρκῖνος δύνει ἀνατέλλων πνευματώδης. κη Εὐκτήμονι ἀετὸς ἑῷος δύνει, χειμὼν κατὰ θάλασσαν ἐπιγίνεται. λ Καλίππῳ λέων ἄρχεται ἀνατέλλειν, νότος πνεῖ, καὶ κύων ἀνατέλλ-

λει

ἡ δεκάτῃ τρίτῃ ἡμέρα

ιϛ

κε

λ

TEMPORA SIGNORUM, in quibus unumquodq; eorum Sol peragrat, & significationes singulorum signorum, quæ sunt subscripta.

Inchoabimus autem ab æstiva conversione.

CANCER.

CAncrum peragrat Sol in diebus 31. Primo die Calippo Cancer incipit oriri. Conversiones æstivæ. Et significat aliqua Cancer. Die 9 Eudoxo flat auster. Die 11 Eudoxo totus Orion manè oritur, Euctemoni Orion totus oritur. Vndecimo, Dositheo Corona mane incipit occidere. Die 20 Dositheo in Ægypto Canis apparet. Die 25 Metoni Canis oritur mane. Die 27 Euctemoni Canis oritur, Eudoxo Canis mane oritur, & per dies sequentes 55 Etesiæ spirant. E quibus diebus primi quinq; vocantur PRÆCVRSORES. Calippo Cancer occidit oriens flatuosus. Die 28 Euctemoni aquila mane occidit, tẽpestas per mare pòst excitatur. Die 30 Calippo Leo incipit oriri, auster spirat, & Canis

λόμ φανερὸς γίνεται. λ καὶ αῇ Εὐδόξῳ νότος πνεῖ.

ὁ ἥλιος τ λέοντα — λ Τὸν δὲ λέοντα διαπορεύεται ἐν ἡμέραις λα. Ἐν μὲν οὖν τῇ πρώτῃ ἡμέρᾳ Εὐκτήμονι κύων μὲν ἐκφανὴς, πνῖγος δὲ ἐπιγίνεται, ἐπισημαίνει. Ἐν δὲ τῇ πέμπτῃ Εὐδόξῳ ἀετὸς ἑῷος δύνει. Ἐν δὲ τῇ δεκάτῃ ἡμέρᾳ Εὐδόξῳ στέφανος δύνει. Ἐν δὲ τῇ ιβ Καλίππῳ λέων μέσος ἀνατέλλων πνῖγη μάλιστα ποιεῖ. Ἐν δὲ τῇ ιδῃ Εὐκτήμονι πνῖγη μάλιστα γίνεται. Ἐν δὲ τῇ ιςῃ ἡμέρᾳ Εὐδόξῳ ἐπισυμβαίνει. Ἐν δὲ τῇ ιζῃ Εὐκτήμονι λύρα δύεται, καὶ ἔπυει, καὶ ἐτήσιαι παύονται, καὶ ἵππος ἐπιτέλλει. Ἐν δὲ τῇ ιηῃ Εὐδόξῳ δελφὶς ἑῷος δύνει, Δοσιθέῳ προτρυγητὴρ ἀκρόνυχος ἐπιτέλλει. Ἐν δὲ τῇ κεῃ καὶ Εὐδόξῳ λύρα ἑῷος δύνει, καὶ ἐπισημαίνει. Ἐν δὲ τῇ κθῃ Εὐδόξῳ ἐπισημαίνει, Καλίππῳ Παρθένος ἐπιτέλλει, ἐπισημαίνει.

Τὴν δὲ παρθένον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ̄. Ἐν μὲν οὖν τῇ εῇ ἡμέρᾳ Εὐδόξῳ ἄνεμος μέγας πνεῖ, καὶ ἐπιβροντᾷ, καλίππῳ δὲ οἱ ὦμοι τῆς παρθένου ἐπιτέλλουσι, καὶ ἐτήσιαι λήγονται. Ἐν δὲ τῇ ιῇ ἡμέρᾳ Εὐκτήμονι προτρυγητὴρ φαίνεται, ἐπιτέλλει δὲ καὶ

παύονται — Ἐν δὲ τῇ

ἀρκτοῦ-

oriens fit conspicuus. Die 31 Eudoxo auster spirat.

Leonem peragrat diebus 31. Primo igitur die Euctemoni Canis quidem est conspicuus, pòst autem fit æstus, significat. Die 5 Eudoxo Aquila mane occidit. Die 10 Eudoxo Corona occidit. Die 12 Calippo Leo medius oriens æstus maximè efficit. Die 14 Euctemoni æstus maximè fiunt. Die 16 Eudoxo æstus contingunt. Die 17 Euctemoni Lyra occidit, & insuper pluit, & Etesiæ cessant, & Equus oritur. Die 18 Eudoxo Delphinus mane occidit, Dositheo vindemiator vesperi oritur. Die 22 etiam Eudoxo Lyra mane occidit, & significat. Die 29 Eudoxo significationem habet. Calippo Virgo oritur, significat.

LEO.

Virginem percurrit Sol diebus 30. Die 5 Eudoxo ventus spirat magnus, & insuper tonat. Calippo humeri Virginis oriuntur, & Etesiæ cessant. Die 10 Euctemoni Vindemiator apparet, oritur &

VIRGO.

ἀρκτοῦρος, καὶ οἰστὸς δύεται ὄρθρου· χειμὼν κατὰ θάλασσαν. Εὐδόξῳ ὑετός, βρονταί, ἄνεμος μέγας πνεῖ. Ἐν δὲ τῇ ιζ῾ Καλλίππῳ παρθένος μέση ἐπιτέλλουσα ἐπισημαίνει, καὶ ἀρκτοῦρος ἀνατέλλων φανερός. Ἐν δὲ τῇ ιθ῾ Εὐδόξῳ ἀρκτοῦρος ἑῷος ἐπιτέλλει, καὶ τὰς ἑπομένας ἡμέρας ζ̄ ἄνεμοι πνέουσιν. Ἰδίᾳ ὡς τὰ πολλὰ λήγοντος δὲ τοῦ χρόνου, ἀπ' ἠοῦς πνεῦμα γίνεται. Ἐν δὲ τῇ κ῾ ἀρκτοῦρος Εὐκτήμονι ἐκφανής, μετοπώρου ἀρχή. Καὶ αἲξ ἐπιτέλλει, ἀστὴρ μέγας ἐπὶ τοῦ ἡνιόχου, κἄπειτα ἐπισημαίνει· χειμὼν κατὰ θάλασσαν. Ἐν δὲ τῇ κδ῾ ἡμέρᾳ Καλλίππῳ στάχυς ἐπιτέλλει τῆς παρθένου.

Τὸν δὲ ζυγὸν διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ̄. Ἐν δὲ τῇ πρώτῃ ἡμέρᾳ Εὐκτήμονι ἰσημερία μετοπωρινή, καὶ ἐπισημαίνει, Καλλίππῳ ὁ κριὸς ἄρχεται δύνειν, ἰσημερία μετοπωρινή. [τῇ δὲ γ̄ Εὐκτήμονι ἔριφοι ἐπιτέλλουσιν ἑσπέριοι. χειμαίνει.] Ἐν δὲ τῇ δ῾ Εὐδόξῳ αἲξ ἀκρόνυχος ἐπιτέλλει. Ἐν δὲ τῇ ε῾ Εὐκτήμονι πλειάδες ἑσπέριαι φαίνονται. Ἐκ τοῦ πρὸς ἕω Καλλίππῳ παρθένος λήγει ἀνατέλλουσα. Ἐν δὲ τῇ ζ῾ ἡμέρᾳ Εὐκτήμονι στέφανος ἀνατέλλει, χειμαίνει. Ἐν δὲ τῇ η῾ Εὐδόξῳ πλειά-

arcturus,& sagitta occidit mane: tempestas fit per mare. Eudoxo pluvia, tonitrua, ventus magnus spirat. Die 17 Calippo Virgo media oriens significat, & arcturus oriens est conspicuus. Die 19 Eudoxo arcturus mane oritur, & per sequentes dies 7 spirant venti. Serenitas est plerunque. Cessante hoc tempore, ventus ab aurora existit. Die 20 Arcturus Euctemoni conspicuus, Autumni initium. Et Capra oritur, stella magna in Auriga, & deinde significat: Tempestas per mare. Die 24 Calippo spica Virginis oritur.

LIBRA.

Libram Sol peragrat diebus 30. Die 1 Euctemoni æquinoctium autumnale, & significat. Calippo Aries incipit occidere: æquinoctium autumnale. Die 4 Eudoxo Capra vesperi oritur. Die 5 Euctemoni vespertinæ apparent Pleiades. Ab ortu Calippo Virgo cessat oriri. Die 7 Euctemoni Corona oritur, tempestas est. Die 8 Eudoxo

πλειάδες ἐπιτέλλουσιν. Ἐν δὲ τῇ ιη Εὐδόξῳ ἑῷος ἐπιτέλλει. ἐν δὲ τῇ ιϛ ἡμέρᾳ Εὐδόξῳ σκορπίος ἀκρόνυχος ἄρχεται δύνειν, καὶ χειμὼν ἐπιγίνεται, καὶ ἄνεμος μέγας πνεῖ. Ἐν δὲ τῇ ιζ Εὐδόξῳ σκορπίος ὅλος ἀκρόνυχος, αἶξ δύνει: καλίππῳ χηλαὶ ἄρχονται ἀνατέλλειν, ἐπισημαίνουσιν. Ἐν δὲ τῇ ιθ Εὐδόξῳ Βορέαι, καὶ νότοι πνέουσιν. Ἐν δὲ τῇ κϛ Εὐδόξῳ ὑάδες ἀκρόνυχοι ἐπιτέλλουσιν. Ἐν δὲ τῇ κη καλίππῳ τοῦ ταύρου κέρας δύνει, ἐπισημαίνει. ἐν τῇ κθ Εὐδόξῳ Βορέας, καὶ νότος πνέουσιν. Ἐν δὲ τῇ λ Εὐκτήμονι χειμὼν κατὰ θάλασσαν πολύς.

Τὸν δὲ σκορπίον ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λ. Ἐν μὲν οὖν τῇ τρίτῃ Δοσιθέῳ χειμαίνει, ἐν δὲ τῇ δ ἡμέρᾳ Δημοκρίτῳ πλειάδες δύνουσιν ἅμα ἠοῖ, ἄνεμοι χειμέριοι ὡς τὰ πολλὰ, καὶ ψύχη, ἤδη καὶ πάχνη, ἐπιπνεῖν φιλεῖ, φυλλοροεῖν ἄρχεται τὰ δένδρα μάλιστα, καλίππῳ τοῦ σκορπίου τὸ μέτωπον ἐπιτέλλει πνευματῶδες. Ἐν δὲ τῇ ε Εὐκτήμονι ἀρκτοῦρος ἑσπέριος δύνεται, καὶ ἄνεμοι μεγάλοι πνέουσιν. Ἐν δὲ τῇ η Εὐδόξῳ ἀρκτοῦρος ἀκρόνυχος πρωΐας δύνει, καὶ ἐπισημαίνει,

καὶ

Pleiades oriuntur. Die 10 Eudoxo mane oritur. Die 12 Eudoxo Scorpius vesperi incipit occidere & tempestas insuper oritur, & ventus flat magnus. Die 17 Eudoxo totus Scorpius vesperi, capra occidit. Calippo Chelæ incipiunt oriri, significant. Die 19 Eudoxo Boreæ, & austri spirant. Die 22 Eudoxo hyades vesperi oriuntur. Die 28 Calippo Tauri cauda occidit, significat. Die 29 Eudoxo Boreas, & auster spirant. Die 30 Euctemoni magna per mare tempestas.

Quærēdum, quæ stella mane oriatur. Nam nomen eius deest in Originali.

Scorpium Sol permeat diebus 30. Die 3 Dositheo tempestas est. Die 4 Democrito Pleiades occidunt summo mane; venti hyberni plerumque, & frigora, & pruina, solet audiri flatus. Folia abijcere maximè incipiunt arbores: Calippo Scorpij frons oritur cum flatu. Die 5 Euctemoni Arcturus vesperi occidit, magnique spirant venti. Die 8 Eudoxo Arcturus in extremitate noctis mane occidit, & significat, &

SCORPIVS.

ἔδα: ὑετοὶ

καὶ ἄνεμ☉ πνεῖ. Ἐν δὲ τῇ θ^η καλίππῳ τοῦ ταύρου δύνει κεφαλὴ, ὑετώδης. Ἐν δὲ τῇ ι^η Εὐκτήμονι λύρα ἑῷ☉ ἐπιτέλλει, καὶ ἐπιχειμάζει, ὑετῷ. Ἐν δὲ τῇ ιβ^η Εὐδόξῳ ὠρίων ἀκρόνυχ☉ ἄρχεται ἐπιτέλλειν. Ἐν δὲ τῇ ιγ^η Δημοκρίτῳ λύρα ἐπιβάλλει ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ ὁ ἀὴρ χειμέρι☉ γίνεται ὡς ἐπὶ τὰ πολλά. Ἐν δὲ τῇ ιδ^η Εὐδόξῳ ὑετία. Ἐν δὲ τῇ ιε^η Εὐκτήμονι πλειάδες δύνουσι, καὶ ἐπισημαίνει, καὶ ὠρίων ἄρχεται καὶ μεσοῦν, καὶ λήγοντι ἐπιχειμάζειν. Ἐν δὲ τῇ ιϛ^η καλίππῳ ὁ ἐν τῷ σκορπίῳ λαμπρὸς ἀστὴρ ἀνατέλλει, ἐπισημαίνει, καὶ πλειάδες δύνουσι φανεραί. Ἐν δὲ τῇ ιη^η Εὐδόξῳ σκορπί☉ ἄρχεται ἐπιτέλλειν ἑῷ☉. Ἐν δὲ τῇ ιθ^η Εὐδόξῳ πλειάδες ἑῷαι δύνουσι, καὶ ὠρίων ἄρχεται δύνειν, καὶ χειμάζει. Ἐν δὲ τῇ κα^η Εὐδόξῳ λύρα ἑῷ☉ ἐπιτέλλει. Ἐν δὲ τῇ κζ^η Εὐκτήμονι ὑάδες δύνονται, καὶ ἐπιύει. Ἐν δὲ τῇ κη^η Καλίππῳ τοῦ ταύρου τὰ κέρατα δύεται, ὑετία. Ἐν δὲ τῇ κθ^η Εὐδόξῳ ὑάδες δύνουσι, καὶ χειμαίνει σφόδρα.

Τὸν

& ventus ſpirat. Die 9 Calippo Tauri caput occidit, ſunt venti pluviales. Die 10 Euctemoni Lyra mane oritur, atque inſuper hyems eſt cum pluvia. Die 12 Eudoxo Orion veſperi incipit oriri. Die 13 Democrito Lyra aſcendit unà cum Sole aſcendente, & aër fit tempeſtuoſus plerumque. Die 14 Eudoxo eſt pluvia. Die 15 Euctemoni Pleiades occidunt, & ſignificant. Et Orion incipit cum medianti menſi, tum deſinenti, tempeſtatem excitare. Die 16 Calippo ſplendida in Scorpio ſtella oritur, ſignificat, & Pleiades occidunt apparenter. Die 18 Eudoxo Scorpius incipit oriri mane. Die 19 Eudoxo Pleiades mane occidunt, & Orion incipit occidere, & tempeſtatem excitat. Die 21 Eudoxo Lyra mane oritur. Die 27 Euctemoni hyades occidunt, atque inſuper pluit. Die 28 Calippo Tauri cornua occidunt, & pluvia. Die 29 Eudoxo hyades occidunt, & magna eſt tempeſtas.

Sagit-

Τὸν δὲ τοξότην ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις κθ. Ἐν μὲν οὖν τῇ ἑβδόμῃ Εὐκτήμονι κύων δύεται, καὶ ἐπιχειμάζει, Καλίππῳ ὁ τοξότης ἄρχεται ἀνατέλλειν, καὶ ὠρίων δύνειν φανερῶς, χειμαίνει. Ἐν δὲ τῇ η ἡ Εὐδόξῳ ὠρίων ἑῷος δύνει. Ἐν δὲ τῇ ι ἡ Εὐκτήμονι τοῦ σκορπίου τὸ κέντρον ἐπιτέλλει. Ἐν δὲ τῇ ιβ ἡ Εὐδόξῳ κύων ἑῷος δύνει, χειμαίνει. Ἐν δὲ τῇ ιδ ἡ Εὐδόξῳ ὑετός. Ἐν δὲ τῇ ιε ἡ Εὐκτήμονι ἀετὸς ἐπιτέλλει, νότος πνεῖ. Ἐν δὲ τῇ ιϛ ἡ Δημοκρίτῳ ἀετὸς ἐπιτέλλει ἅμα ἡλίῳ, καὶ ἐπισημαίνειν φιλεῖ βροντῇ, ἢ ἀστραπῇ, ἢ ὕδατι ἢ ἀνέμῳ, ἢ ἀμφότερα ὡς ἐπὶ τὰ πολλά. Εὐδόξῳ κύων ἀκρόνυξ ἐπιτέλλει, ὅτι Καλίππῳ οἱ δίδυμοι μετίασι δυόμενοι, νοτία. Ἐν δὲ τῇ ιθ ἡ Εὐκτήμονι δύνει. Ἐν δὲ τῇ κα ἡ Εὐδόξῳ σκορπίος ἑῷος ἐπιτέλλει, καὶ χειμαίνει. Ἐν δὲ τῇ κγ ἡ Εὐδόξῳ Αἲξ ἑῷα δύνει. Ἐν δὲ τῇ κϛ ἡ Εὐδόξῳ ἀετὸς ἑῷος ἐπιτέλλει.

Τὸν δὲ αἰγόκερων ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις κθ. Ἐν μὲν οὖν τῇ α ἡ ἡμέρᾳ Εὐκτήμονι τροπαὶ χειμεριναί, ἐπισημαίνουσι.

Καλίπ-

Sagittarium Sol percurrit diebus 29. Die 7 Euctemoni Canis occidit, atque insuper fit tempestas. Calippo Sagittarius incipit oriri, & Orion occidere apparenter, est tempestas. Die 8 Eudoxo Orion mane occidit. Die 10 Euctemoni Scorpij centrum oritur. Die 12 Eudoxo Canis mane occidit, est tempestas. Die 14 Eudoxo est pluvia. Die 15 Euctemoni Aquila oritur, flat auster. Die 16 Democrito aquila oritur simul cum Sole, & insuper significare solet tonitru, & fulgur, cum aqua, aut vento, aut utraque plerumque. Eudoxo Canis vesperi oritur, eo quod Calippo Gemini transeunt occidentes, fit pluvia. Die 19 Euctemoni occidit. Die 21 Eudoxo Scorpius mane oritur, estque tempestas. Die 23 Eudoxo Capra mane occidit. Die 26 Eudoxo Aquila mane oritur.

SAGITTARIVS.

Capricornum Sol peragrat diebus 29. Die 1 Euctemoni sunt conversiones hybernæ, seu solstitia hyberna, significant. Calip-

CAPRICORNVS.

Καλίππῳ τοξότης λήγει ἀνατέλλων, τροπαὶ χειμεριναί, χειμαίνει. Ἐν δὲ τῇ β΄ Εὐκτήμονι δελφὶς ἐπιτέλλει, χειμαίνει. Ἐν δὲ τῇ δ΄ Εὐδόξῳ τροπαὶ χειμεριναί, χειμαίνει. Ἐν δὲ τῇ ζ΄ Εὐκτήμονι ἀετὸς ἑσπέριος δύεται, καὶ χειμαίνει. Ἐν δὲ τῇ θ΄ Εὐδόξῳ στέφανος ἀκρόνυχος δύνει. Ἐν δὲ τῇ ιβ΄ Δημοκρίτῳ νότος πνεῖ, ὡς ἐπιτέλλει. Ἐν δὲ τῇ ιδ΄ Εὐκτήμονι μέσος χειμών, νότος πολὺς ἐπιπνεῖ χειμερινὸς κατὰ θάλασσαν. Ἐν δὲ τῇ ιε΄ Καλίππῳ αἰγόκερως ἄρχεται ἀνατέλλειν, νότος. Ἐν δὲ τῇ ιϛ΄ Εὐκτήμονι νότος χειμέριος κατὰ θάλασσαν. Ἐν δὲ τῇ ιη΄ ἀκρόνυχος ἐπιδύνει ὁ Περσεύς, νότος πνεῖ. Ἐν δὲ τῇ κζ΄ Εὐκτήμονι δελφὶς ἑσπέριος δύνει, Καλίππῳ καρκίνος λήγει δύνων χειμαίνει.

Τὸν δὲ ὑδροχόον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ. Ἐν μὲν οὖν τῇ β΄ Καλίππῳ λέων ἄρχεται δύνειν, ὑετία, Δημοκρίτῳ ἄλοχος ειμών. Ἐν δὲ τῇ δ΄ ἡμέρα Εὐδόξῳ δελφὶς ἀκρόνυξ δύνει. Ἐν δὲ τῇ ια΄ Εὐδόξῳ λύρα ἀκρόνυξ δύνει, ὑετός. Ἐν δὲ τῇ ιδ΄

Εὐδό-

Calippo Sagittarius desinit oriri, conversiones contingunt hybernæ, fit tempestas. Die 2 Euctemoni Delphinus oritur, existit tempestas. Die 4 Eudoxo eveniunt hybernæ conversiones, existit tempestas. Die 7 Euctemoni Aquila vesperi occidit, fitque tempestas. Die 9 Eudoxo Corona vesperi oritur. Die 12 Democrito auster spirat, sicut oritur. Die 14 Euctemoni media hyems, auster multus flat hybernus per mare. Die 15 Calippo Capricornus incipit oriri, flat auster. Die 16 Euctemoni auster hybernus per mare. Die 18 vesperi postea occidit Perseus, & spirat auster. Die 27 Euctemoni Delphinus vespertinus occidit. Calippo Cancer desinit occidere, est tempestas.

AQVARIVS.

Aquarium permeat Sol diebus 30. Die 2 Leo incipit occidere, existit pluvia. Democrito hyems existit lecti expers. Die 4 Eudoxo Delphinus vesperi occidit. Die 11 Eudoxo Lyra vesperi occidit: existit pluvia. Die 14

Εὐδόξῳ ἀδία, ἐνίοτε καὶ ζέφυρος πνεῖ. Ἐν δὲ τῇ ις΄ Δημοκρίτῳ ζέφυρος πνεῖν ἄρχεται, καὶ παραμένει ἡμέρας ζ καὶ μ ἀπὸ τροπῶν. Ἐν δὲ τῇ ιζ΄ Εὐκτήμονι ζέφυρον ὥρα πνεῖν, Καλίππῳ ὑδροχόος μέσος ἀνατέλλων, ζέφυρος πνεῖ. Ἐν δὲ τῇ κε΄ Εὐκτήμονι ἑσπέριος δύνει, καὶ σφόδρα ἐπιχειμάζει.

Τοὺς δὲ ἰχθύας ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λ. Ἐν μὲν οὖν τῇ β΄ χελιδόνα ὥρα φαίνεσθαι, καὶ ὀρνιθίαι πνέουσιν· Καλίππῳ δὲ λέων δύνων λήγει, καὶ χελιδὼν φαίνεται, ἐπισημαίνει. Ἐν δὲ τῇ δ΄ Δημοκρίτῳ ποικίλαι ἡμέραι γίνονται ἀλκυονίδες καλούμεναι, Εὐδόξῳ δὲ ἀρκτοῦρος ἀκρόνυχος ἐπιτέλλει, καὶ ὑετὸς γίνεται, καὶ χελιδὼν φαίνεται, καὶ τὰς ἐχομένας ἡμέρας λ βορέαι πνέουσι, ἢ μάλιστα οἱ προορνιθίαι καλούμενοι. Ἐν δὲ τῇ ιβ΄ Εὐκτήμονι ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει, καὶ προτρυγητὴρ ἐκφανὴς, ἐπιπνεῖ βορέας ψυχρός. Ἐν δὲ τῇ ιδ΄ Δημοκρίτῳ ἄνεμοι πνέουσι ψυχροί, οἱ ὀρνιθίαι καλούμενοι, ἡμέρας μάλιστα θ. Εὐκτήμονι δὲ ἵππος ἑῷος δύνει, ἐπιπνεῖ βορέας ψυχρός. Ἐν δὲ τῇ ιζ΄ Εὐδόξῳ χειμαίνει, ὁ ἰκτῖ-

νος

Eudoxo serenitas, interdum etiam flat Zephyrus. Die 16 Democrito Zephyrus incipit flare, & manet per dies 43 à conversionibus. Die 17 Euctemoni tempus est, ut spiret Zephyrus. Calippo Aquarius medius oriens est, flat Zephyrus. Die 25 Euctemoni vesperi occidit, & insuper magna est tempestas.

PISCES.

Pisces Sol percurrit diebus 30. Die 2 tempus est hirundinem apparere, & spirant Ornithiæ, seu venti aviarij. Calippo Leo desinit occidere, & hirundo apparet, significat. Die 4 Democrito varij sunt dies, qui vocantur dies Halcyonidum. Eudoxo Arcturus vesperi oritur, & existit pluvia, & hirundo apparet, & per sequentes dies 30 Boreæ spirant, & maximè illi, qui dicuntur Proornithiæ, seu venti proaviarij. Die 12 Euctemoni Arcturus vesperi oritur, & vindemiator fit apparens: insuper flat fridigus Boreas. Die 14 Democrito frigidi flant venti, qui Ornithiæ vocantur, per dies maximè novem. Euctemoni Equus manè occidit: insuper frigidus flat Boreas. Die 17 Eudoxo existit tempestas, & mil-

ὁ νότος

νος φαίνεται· Καλίππῳ τῶν ἰχθύων ἄλλος ἐπιτέλλει, λήγει Βορέας. Ἐν δὲ τῇ κα Εὐδόξῳ στέφανος ἀκρόνυχος ἐπιτέλλει, ἄρχονται ὀρνιθίαι πνέοντες. Ἐν δὲ τῇ κε Εὐκτήμονι ἰκτῖνος φαίνεται, ὀρνιθίαι πνέουσι μέχρις ἰσημερίας. Ἐν δὲ τῇ κθ Εὐκτήμονι τοῦ σκορπίου οἱ πρῶτοι ἀστέρες δύνουσιν, ἐπιπνεῖ Βορέας ψυχρός. Ἐν δὲ τῇ λ Καλίππῳ τῶν ἰχθύων Βόρειος ἐπιτέλλων λήγει, ἰκτῖνος φαίνεται, Βορέας πνεῖ.

Τὸν δὲ κριὸν διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λα. Ἐν μὲν τῇ πρώτῃ Καλίππῳ σύνδεσμος τῶν ἰχθύων ἀνατέλλει, ἰσημερία ἐαρινὴ καὶ ψεκὰς λεπτὴ, χειμαίνει σφόδρα. ἐπισημαίνει. Ἐν δὲ τῇ γ Καλίππῳ κριὸς ἄρχεται ἐπιτέλλειν, ὑετὸς ἢ νιφετός. Ἐν δὲ τῇ ς Εὐδόξῳ ἰσημερία, ὑετὸς γίνεται. Ἐν δὲ τῇ ι Εὐκτήμονι πλειάδες ἑσπέριοι κρύπτονται. Ἐν δὲ τῇ ιγ Εὐδόξῳ πλειάδες ἀκρόνυχοι δύνουσι, καὶ ὠρίων ἄρχεται δύνειν. Ἀπὸ ἀκρονύχου ὑετὸς γίνεται. Δημοκρίτῳ πλειάδες κρύπτονται ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ ἀφανεῖς γίνονται νύκτας μ. Ἐν δὲ τῇ κα Εὐδόξῳ ὑάδες ἀκρόνυχοι δύνουσιν. Ἐν δὲ τῇ κγ

Εὐκτήμονι ἰσημερία, καὶ ψεκὰς λεπτὴ ἰσημερινὸς χειμ-

vus apparet. Calippo piſcium Alopus oritur, deſinit Boreas. Die 21 Eudoxo Corona veſperi oritur, incipiunt Ornithiæ ſpirare. Die 22 Euctemoni milvus apparet, Ornithiæ ſpirant usque ad æquinoctium. Die 29 Euctemoni Scorpij primæ ſtellæ occidunt, flat frigidus Boreas. Die 30 Calippo Piſcium Borealis deſinit occidere : apparet milvus : flat Boreas.

ARIES.

Arietem pertransit Sol diebus 31. Die 1 Calippo vinculum piſcium oritur, fit æquinoctium vernum, & pluvia minutula, magna fit tempeſtas, ſignificat. Die 3 Calippo Aries incipit oriri, exiſtit pluvia, aut nix. Die 6 Eudoxo eſt æquinoctium : fit pluvia. Die 10 Euctemoni Pleiades veſperi occultantur. Die 13 Eudoxo Pleiades veſperi occidunt, & Orion incipit occidere. A veſpertino occaſu Orionis pluvia exiſtit. Democrito Pleiades occultantur ſimul cũ Sole aſcendente, & inviſibiles fiũt per noctes 40. Die 21 Eudoxo Hyades veſperi occidunt. Die

κγ Εὐκτήμονι ὑάδες κρύπτονται, καὶ χάλαζα ἐπιγίνεται, καὶ ζέφυρος πνεῖ, Καλίππῳ ζυγὸς ἄρχεται δύνειν, πολλαχῇ δὲ καὶ χάλαζα. Ἐν δὲ τῇ κζ Εὐδόξῳ λύρα ἀκρόνυχος ἐπιτέλλει.

Τὸν δὲ ταῦρον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λβ. Ἐν μὲν οὖν τῇ α ἡμέρᾳ Εὐδόξῳ ὠρίων ἀκρόνυχος δύνει, ὑετία. Καλίππῳ ὁ κριὸς λήγει ἐπιτέλλων, ὑετία, πολλαχῇ δὲ καὶ χάλαζα. Ἐν δὲ τῇ β Εὐκτήμονι κύων κρύπτεται καὶ χάλαζα γίνεται. Τῇ δ' αὐτῇ λύρα ἐπιτέλλει Εὐδόξῳ, κύων ἀκρόνυχος δύνει, καὶ ὑετὸς γίνεται. Καλίππῳ τοῦ ταύρου ἡ κέρκος ἐπιτέλλει, νοτία. Ἐν δὲ τῇ ζ Εὐδόξῳ ὑετὸς γίνεται. Ἐν δὲ τῇ η ~~Εὐδόξῳ αἲξ~~ ἑῴα ἐπιτέλλει. Ἐν δὲ τῇ ια Εὐδόξῳ σκορπίος ἑῷος δύνειν ἄρχεται, καὶ ὑετὸς γίνεται. Ἐν δὲ τῇ ιγ Εὐκτήμονι πλειὰς ἐπιτέλλει, θέρους ἀρχὴ, καὶ ἐπισημαίνει: Καλίππῳ ἡ τοῦ ταύρου κεφαλὴ ἐπιτέλλει, ἐπισημαίνει. Ἐν δὲ τῇ μιᾷ καὶ εἰκάδι Εὐδόξῳ σκορπίος ἑῷος ὅλος δύνει: Ἐν δὲ τῇ κβ Εὐδόξῳ πλειάδες ἐπιτέλλουσι, καὶ ἐπισημαίνουσι. Ἐν δὲ τῇ κε Εὐκτή-

ἢ εὐκτήμονι αἲξ ἑῴα ἀνατέλλει. χειμία. ὑδ. νότῳ ὕδατι. ἐν δὲ τῇ θ αἲξ

23 Euctemoni Hyades occultantur, & grando pòst existit, & flat Zephyrus. Calippo Libra incipit occidere, copiosa existit & grando. Die 27 Eudoxo Lyra vesperi oritur.

TAVRVS.

Taurum Sol peragrat diebus 32. Die 1 Eudoxo Orion vesperi occidit: fit pluvia: Calippo aries desinit oriri, fit pluvia, & copiosa grando. Die 2 Euctemoni Canis occultatur, & grando existit. Eodem die Lyra oritur Eudoxo, Canis vesperi occidit, & fit pluvia. Calippo Tauri cauda oritur, existit humiditas. Die 7 Eudoxo existit pluvia. Die 8 Eudoxo Capra manè oritur. Die 11 Eudoxo Scorpius mane occidere incipit, & pluvia existit. Die 13 Euctemoni Pleias oritur, æstatis est initium, & significat. Calippo Tauri caput oritur, significat. Die 21 Eudoxo Scorpius totus manè occidit. Die 22 Eudoxo Pleiades oriuntur, & significant. Die 25

Εὐκτήμονι ἀετὸς ἑσπέριος δύνει. Ἐν δὲ τῇ λ Εὐκτήμονι ἑσπέριος ἐπιτέλλει. Ἐν δὲ τῇ λα Εὐκτήμονι ἀετὸς ἑσπέριος ἐπιτέλλει. Ἐν δὲ τῇ λβ Εὐκτήμονι ἀρκτοῦρος ἑῷος δύνει, ἐπισημαίνει. Καλίππῳ ὁ ταῦρος λήγει ἀνατέλλων, Εὐκτήμονι ὑάδες ἑσπέριαι ἐπιτέλλουσιν, ἐπισημαίνουσι.

Τοὺς δὲ διδύμους ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λβ. Ἐν μὲν οὖν τῇ β Καλίππῳ οἱ δίδυμοι ἄρχονται ἐπιτέλλειν, νοτία. Ἐν δὲ τῇ ε Εὐδόξῳ ὑάδες ἑῷαι ἐπιτέλλουσιν. Ἐν δὲ τῇ ζ Εὐδόξῳ ἀετὸς ἀκρόνυχος ἐπιτέλλει. Ἐν δὲ τῇ ι Δημοκρίτῳ ὕδωρ γίνεται. Ἐν δὲ τῇ ιγ Εὐδόξῳ ἀρκτοῦρος ἑῷος δύνει. Ἐν δὲ τῇ ιη Εὐδόξῳ δελφὶς ἀκρόνυχος ἐπιτέλλει. Ἐν δὲ τῇ κδ Εὐκτήμονι ὠρίωνος ὦμος ἐπιτέλλει, Εὐδόξῳ ὠρίων ἄρχεται ἐπιτέλλειν. Ἐν δὲ τῇ κθ Δημοκρίτῳ ἄρχεται ὠρίων ἐπιτέλλειν, καὶ φιλεῖ ἐπισημαίνειν ἐπ' αὐτῷ.

Οὐδὲν πλέον.

ΔΟΞΑ ΤΩ ΘΕΩ

Euctemoni Aquila vesperi occidit. Die 30 Euctemoni vesperi oritur. Die 31 Euctemoni Aquila vesperi oritur. Die 32 Euctemoni Arcturus manè occidit, significat. Calippo Taurus desinit oriri, Euctemoni Hyades vesperi oriuntur, significant.

Geminos Sol permeat diebus 32. Die 2 Calippo Gemini incipiunt oriri, existit humiditas. Die 5 Eudoxo Hyades manè oriuntur. Die 7 Eudoxo Aquila vesperi oritur. Die 10 Democrito aqua existit. Die 13 Eudoxo Arcturus manè occidit. Die 18 Eudoxo Delphinus vesperi oritur. Die 24 Euctemoni Orionis humerus oritur, Eudoxo Orion incipit oriri. Die 29 Democrito Orion incipit oriri, & solet Democritus in ipso significare. **GEMINI.**

Nihil restat amplius.

L AVS *D* EO.





CAPITA, QVÆ IN GEMINI COELESTIVM APparentiarum Libro continentur.

Capvt I.

Capvt II.

Capvt

CAPVT III.

CAPVT IIII.

CAPVT V.

CAPVT VI.

CAPVT VII.

CAPVT

CAPVT VIII.

CAPVT IX.

CAPVT X.

CAPVT XI.

CAPVT XII.

CAPVT XIII.

CAPVT XIIII.

CAPVT

FINIS.



ALTORPHII,

Typis Christophori Lochneri, & Iohannis Hofmanni, Typographorum Academicorum.



ANNO

M D XC.









